Τελευταῖον ἐπὶ τῆς πρώτης πατριαρχείας τοῦ Κωνσταντινουπόλεως Κυρίλλου τοῦ Ε (τῷ 1750) ἀνέστησάν τινες ἐκ τῶν Λατίνων τῶν πέραν τῆς Κωνσταντινουπόλεως κατοικούντων (ἐν Συκαῖς, τῷ νῦν Γαλατᾷ), θέλοντες (ὡς ἔλεγον) προσελθεῖν τῇ ὀρθοδοξίᾳ, μὴ καταδεχόμενοι δὲ τὸ βάπτισμα· ὅθεν ἐκινήθη περὶ τούτου ζήτημα παρὰ τοῖς ἱερεῦσι τοῦ Γαλατᾶ, ὅπερ καὶ ἀνήνεγκον τῷ πατριάρχῃ Κυρίλλῳ, καὶ συνοδικῶς ἐξετασθέντος τοῦ πρακτέου, ἐπετάχθη τοῖς ἱερεῦσι βαπτίζειν πρῶτον τοὺς προσιόντας Δυτικούς, καὶ ἔπειτα χρίειν τῷ μύρῳ (καθὼς ποιοῦσι καὶ ἐν τῷ ἁγίῳ τῶν ὀρθοδόξων βαπτίσματι). Καὶ τότε μὲν

(α) Ἤδη τυπουμένου τοῦ παρόντος τετραδίου περιῆλθεν ἡμῖν εἰς χεῖρας ὁ 9 ἀριθμὸς τῆς ἐν Κωνσταντινουπόλει ἐκδιδομένης ἐφημερίδος Ὁ μ ο ν ο ί α ς, ἐν ᾧ μετὰ τὴν καλὴν νίκην τὴν ἐπιστέψασαν τοὺς ἀριζήλους πρὸς προφυλακὴν τοῦ Ὀρθοδόξου ποιμνίου καὶ ἀποσόβησιν τῶν εἰς αὐτὸ εἰσελασάντων βαρέων λύκων τοῦ προσηλιτισμοῦ ἀγῶνας τοῦ Παναγιωτάτου Οἰκουμενικοῦ πατριάρχου Κ. Ἰωακείμ τοῦ Γ′ καὶ τοῦ περὶ αὐτὸν βασιλείου ἱερατεύματος, ἀναγινώσκεται καὶ Συνοδικὴ διάγνωσις περί τινος Καλούδη, μεταστάντος μὲν πρώην εἰς τὴν κατασχιστικὴν τῆς Ἐκκλησίας ἕνωσιν, καὶ ἱερέως χειροτονηθέντος ἐν αὐτῇ ὑπὸ τοῦ ἀποστάτου Μελετίου, μετ' οὐ πολὺ δὲ γνωσιμαχήσαντος καὶ τῇ φιλοστόργῳ Μητρὶ ἐπανελθόντος. Διέγνω τοίνυν ἡ Α. θειοτ. Παναγιότης μετὰ τῆς ἱερᾶς Συνόδου, μύρῳ αὐτὸν χρῖσαι ὡς ἐν τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ βεβαπτισμένον (ὡς εἶπε καὶ ὁ ἀοίδιμος σελ. 420, 492), ἀναχειροτονῆσαι δ' αὐτὸν ὡς ὑπὸ ἀποστάτου καὶ τοῖς αἱρετικοῖς συναρίθμου χειρουργηθέντα. Σημ. Ἐκδ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών/ Academy of Athens

δι' ἐπιχύσεως βαπτιζόμενον, διότι οὗτος οὐ καταδύεται ἐν τῷ ὕδατι, καὶ καθ' ὁπότε (καθὼς τὰ παρὰ τοῖς Ῥωμάνοις βαπτιζόμενα νήπια) μηδ' αὐτοῦ τοῦ μὴ καταδύεσθαι αἴτιός ἐστιν αὐτός»; — Ναὶ (σημειοῦμεν) τὸ Πνεῦμα πάντως τὸ ἅγιον ἐν τῷ βαπτίσματι ἀναγεννᾷ καὶ ἀναkαινίζει τὸν ἄνθρωπον. Περὶ τούτου τίς ἀντιλέγει; ἀλλ' ὁ τοῦτο διδάξας ἡμᾶς Κύριος καὶ Θεὸς ἡμῶν, οὗτος αὐτὸς προσέθηκε καὶ τὸ ὕδωρ, ἐν ᾧ προῶτος αὐτὸς (ὁ πάσης ἐπέκεινα καθαρότητος) ἐβαπτίσθη, καταδὺς (οὐκ ἐπιχυθείς, ἢ ῥαντισθείς)· καὶ τοῦτον τὸν ἐξωτερικὸν τῆς πνευματικῆς ἀναγεννήσεως τύπον παρέδωκε τῇ Ἐκκλησίᾳ «Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος» κτλ. γεννᾶται δὲ ἐκ Πνεύματος ὁ βαπτιζόμενος, ἀναδύων ἐκ τοῦ ὕδατος (ἐν ᾧ δι' ὁλοσώμου καταδύσεως κρυπτόμενος διαπλάττεται πρὸς τὴν πνευματικὴν παλιγγενεσίαν), ὡς καὶ τὰ γεννώμενα βρέφη ἀνατέλλουσιν ἐκ τῆς μήτρας, ἐν ᾗ φύσει διαπλάττονται, ὁλοσχερῶς ἐγκεκρυμμένα. Ὅθεν καὶ ὁ μέγας Ἀπόστολος Πέτρος, ὅστις εἶπε τὸ «Τίς δυνατὸς κωλῦσαι τὸν Θεόν;» (τοῦ δοῦναι τοῖς περὶ τὸν Κορνήλιον πιστοῖς τὴν τοῦ Πνεύματος δωρεάν), αὐτὸς οὗτος εἶπε (Πράξ. ι, 47) πάλιν περὶ τῶν αὐτῶν καὶ τὸ «Μήτι τὸ ὕδωρ δύναταί τις κωλῦσαι τοῦ μὴ βαπτισθῆναι τούτους; καὶ προσέταξεν αὐτοὺς βαπτισθῆναι» (οὐκ ἐπιχυθῆναι). Εἰ δὲ καὶ λαβόντας αὐτοὺς τὴν τοῦ πνεύματος δωρεάν πάλιν ἐβάπτισεν ἐν τῷ ὕδατι, ὅπως πληρωθῇ ὁ θεοδίδακτος τῆς πνευματικῆς ἀναγεννήσεως τύπος, τίς δύναται ἀντινομοθετῆσαι πρὸς τὴν διάταξιν τοῦ Θεοῦ, κωλύων τὸ ὕδωρ, καὶ μεταποιῶν τὸ βάπτισμα εἰς ἐπίχυσιν ἢ ῥαντισμόν; Ἢ μήπως οὐδὲν τοῖς πιστοῖς διαφέρει τὸ παραχαράττειν καὶ συντρίβειν τὰ θεοπαράδοτα τῆς πνευματικῆς ἀναγεννήσεως σύμβολα, διὰ τὸν μυστηριώδη λόγον τῆς ἀναγεννήσεως αὐτῆς; Ἀλλ' οὕτω καὶ Σοκῖνος καὶ ἄλλοι λίαν ἀπέβησαν σοφοί, μικρόν τι προσωτέρω προβάντες, καὶ αὐτὰς τὰς ὀλίγας σταγόνας τοῦ τῶν Ῥωμάνων ῥαντισμοῦ πάντῃ παραλιπόντες, ὡς ὅλως περιττὸν ὂν τὸ ὕδωρ ἐν τῷ βαπτίσματι· διότι (φασὶν) ἀρκοῦσι πρὸς τὸ μυστήριον ἥτε πίστις τοῦ ἀναγεννωμένου καὶ ἡ τοῦ ἀναγεννῶντος πνεύματος παντοδυναμία! Παρομοίως καὶ τούτων οἱ πρόδρομοι Μοντανισταὶ Ἀσκοδροῦται (οἱ κατ' ἄλλας γραφὰς Ἀσκοδρουπίται καὶ Τασκοδρουπίται, ἢ Τασκοδοῦργοι), καὶ εἴτινες ἄλλοι μολύνουσι τὰς σελίδας τῆς ἐκκλησιαστικῆς ἱστορίας, «Μὴ χρῆναι ἔλεγον τὰ θεῖα μυστήρια, ἀοράτων ὄντα σύμβολα, δι' ὁρωμένων ἐπιτελεῖσθαι πραγμάτων, καὶ τὰ ἀσώματα δι'

τείνονται ὅτι ἐν Μαγὲβ τῆς Ἀρμενίας)· Πλὴν ὅτι κατὰ τὸν θεῖον Χρυσόστομον κήρυκες ἐγένοντο τοῦ Εὐαγγελίου παρὰ τοῖς Πέρσαις· «Ἐμοὶ γὰρ; λέγει, δοκοῦσιν οὗτοι καὶ οἶκοι διδάσκαλοι γενέσθαι τῶν ἐγχωρίων » (α). Κατὰ δὲ τὴν Κολωνίαν τῆς Γερμανίας καὶ τὰ λείψανα τῶν μάγων τιμώμενα ἐναπόκεινται, καθὼς λέγουσι (β). Ταῦτα λοιπὸν, ὡς παρὰ τοῖς θείοις ἡμῶν Πατράσιν ἀνιζόρητα καὶ ἀβεβαίωτα, καταλείπομεν εἰς τοὺς ἀταλαιπώρως καὶ δίχως κύρους οὐδενὸς ἀποδεξαμένους. Μεταβαίνομεν δὲ καὶ εἰς τὴν περὶ τοῦ φανέντος τοῖς Μάγοις ἀστέρος ἐρώτησιν τῆς φιλοκαλίας σου.

§. ιη. Ἀπορεῖς (λέγεις) ἀναγνοὺς ἔν τινι τῶν νεοφανῶν βιβλίων (γ), ὅτι «ὁ τοὺς μάγους ὁδηγήσας ἀστὴρ ὑπῆρχε κομήτης». Ἐγὼ δὲ περὶ σοῦ, φιλότης, μᾶλλον ἠπόρησα πῶς ἐλησμόνησας, ὅτι ὅσα τῶν ἐκκλησιαστικῶν πονημάτων δὲν ὑπάρχουσιν ἀπευθυσμένα πρὸς τὸ ὀρθὸν καὶ ἀσφαλὲς κατὰ τὸν ἀδιάψευστον γνώμονα καὶ κανόνα τῶν θείων Πατέρων, ὁμοιάζουσι τὴν χώραν τῶν Αἰγυπτίων, ἥτις φέρει «Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά» (δ). Οὕτω καὶ τὰ

Dubiorum Evangelicor. T. 2. Dub. 18. 19, 20. p. 290 etc. καὶ Henrici Crombach. Histor. et Encomion trium Regum. Colon. 1651. σύγγραμμα πλῆρες μύθων καὶ ἀτοπολογιῶν. Πολλὰ δὲ κατὰ τὴν Κολωνίαν ἱστοροῦνται καὶ περὶ τῆς παρ' αὐτοῖς φημιζομένης εἰκόνος τῶν τριῶν μάγων· βλ. Relation. innoxias Annl 1723. p. 497.

(α) Χρυσόστ. Ὁμιλ. ς'. εἰς Ματθ. σελ. 93.— (β) Βλ. Chronicon Montis Sereni ad an. 1168. Backij Evang. Expos. c. 1. p. 281.

(γ) Οὐκ ἴσμεν τί τὸ βιβλιδάριον, οὗ μνημονεύει ὁ συγγραφεύς, πάντως ὅμως τῶν ἐκ Μελίτης εἰς τὴν Ἑλλάδα συμφορηθέντων τί ἐστιν, περὶ ὧν καὶ ἀνωτέρω (σελ. 368) ἐγένετο λόγος. Σημείωσαι δὲ ὅτι πρῶτος ὁ Δανὸς ἐπίσκοπος Μύντερος κατὰ τὸ 1821 ἐδημοσίευσε σύντομον πρόγραμμα, ἐν ᾧ φησιν ὅτι ὁ τοῦ πάντων βασιλέως ἀστήρ, ὁ τοὺς μάγους προάγων ἕως ἐλθὼν ἔστη οὗ ἦν τὸ παιδίον, οὐδὲν ἄλλο ἦν ἢ ἡ καὶ τότε (τῷ 1821) γενομένη περίεργος σύνοδος τῶν πλανητῶν Διὸς καὶ Κρόνου, ἐν ἀντιθέσει πρὸς τὸν Ἥλιον κειμένων. Τοιαύτη δὲ σύνοδος, φησί, τῶν πλανητῶν Διὸς Κρόνου καὶ Ἄρεως παρατετήρηται καὶ τῷ 1603, ὅτε καὶ ἀστὴρ ὤφθη ἐπὶ τοῦ ποδὸς τοῦ ἀστερισμοῦ Ὀφιούχου κείμενος μεταξὺ τοῦ Διὸς καὶ Κρόνου λίαν λαμπρὸς καὶ κεχρωματισμένος καὶ τῷ Διΐ καὶ Κρόνῳ ἰσομεγέθης. Καί τινες δὲ τῶν Γερμανῶν ἀστρονόμων ἠσπάσθησαν τὴν παράδοξον δόξαν αὐτοῦ ταύτην δημοσιευθεῖσαν πλατύτερον τῷ 1827 ἐν Κοπεγχάγῃ ἐν τῇ **Der Stern der Weisen** ἐπιγεγραμμένῃ Διατριβῇ, ἐν ᾗ σπουδάζει τὸ ἔτος τῆς τοῦ Κυρίου γεννήσεως ὁρίσαι ἀστρονομικῶς ἐκ ῥαβινικῆς, ὡς λέγει (σελ. 5), ἀστρολογικῆς τηρήσεως τοὐνδόσιμον λαβών! Σημ. Ἐκδ.

(δ) Ὁμηρ. Ὀδ. Δ. 230.

μετὰ τοῦ κελύφους, καὶ φανέντες ἀζήλως καὶ ἀκλεῶς μαθηταὶ χρειττονες διδασκάλων, καὶ (τὸ χείριστον) αὐτῆς τῆς Ἐκκλησίας σοφώτεροι! Ἔρρωσο.

Ἀθήνησι. ,ωλζ. Νοεμβρίου ιη (α).

ΠΕΡΙ ΜΑΓΩΝ.

Θεοφάνει τῷ Ἱεροδιακόνῳ.

§. α. Ἡ μὲν μέλισσα (καθὼς λέγουσι) τὸ ξανθὸν αὐτῆς συνάγουσα νέκταρ, οὐ μόνον εἰς ἴα καὶ ῥόδα καὶ ἄλλων ἀνθέων ἐφίπταται εἴδη, ἀλλὰ καὶ τὴν δριμεῖαν ἐπικάθηται θύμβραν, καὶ τὸν θύμον τὸν τραχύν. Καὶ σὺ δέ, φιλότης, παρόμοια τῇ φιλοπόνῳ μελίσσῃ ποιεῖς, ὅστις τὰς ἱεράς σου μελέτας ἐν τοῖς ἀκηράτοις λειμῶσι τῶν θείων Πατέρων ἀείποτε διατρέφων, καὶ ἀπ᾽αὐτῶν δὲ τῶν εὐπνουστέρων κήπων τῆς ἔξω σοφίας εἴ τι χρήσιμον ἀπανθίζων, ἔπειτα μὴ ἐξαρκούμενος, ἐφίπτασαι καὶ εἰς ὀρεινὰ καὶ γέροντα φυτάρια· τοιοῦτός τις ἐπῆλθες καὶ πρὸς ἡμᾶς διὰ τῆς ἐπιστολῆς σου ζητῶν τὰ περὶ τῶν ἐν τοῖς θείοις Εὐαγγελίοις μάγων φιλοχρινούμενα.

§. β. Εἰς δύο δὲ τὸ ζήτημα διαιρεῖς, Α) τίνες οἱ Μάγοι καθόλου, καὶ Β) ποῖοί τινες ἦσαν ἰδίως, καὶ πότε καὶ πόθεν ἦλθον οἱ τὸν ἀρτιγέννητον Σωτῆρα προσκυνήσαντες Μάγοι, καὶ ποῖός τις ὁ τούτους ὁδηγήσας ἀστήρ. Ταῦτα τὸ μελιχρὸν ἐπιστόλιον ἀπαιτεῖ, περιβομβοῦν ἡδέως καὶ δυσαπάλλακτον προσκαθήμενον. Καὶ λάβε λοιπὸν τὴν ἀπάντησιν, ὀλίγον χυμὸν ὅσον ἔχει σοι προσενεγκεῖν τὸ ἐμὸν θυμάριον.

§. γ. Οἱ Μάγοι παρὰ τοῖς ἀρχαίοις ἱστοροῦνται γένος περσικὸν ἔντι-

---

(α) Ἐξεδόθη τὸ πρῶτον καὶ αὕτη ἡ Ἐπιστολὴ ἐν Εὐαγγελ. Σάλπιγγ. Περιόδ. Β. Ἀριθμ. 19. σελ. 201—227. Ἀθήνησι 1837. Ὁ δὲ Ἱερομόναχος Φαρμακίδης ἀγανακτήσας, ὡς ἔοικεν, ὅτι ὁ συγγραφεὺς αὐτῆς τὴν τῆς ὀρθοδόξου Ἐκκλησίας ἀποδεχόμενος περὶ Ζαχαρίου δόξαν καὶ τοῖς τῶν Πατέρων προέχουσι κατακολουθῶν ἀπερράπισε τὰς τῶν νεωτέρων ψυχρὰς ἀμφιβολολογίας, συνέγραψε μακρὸν ἐξ 149 σελίδων λῆρον (ὡς εἴπομεν σελ. 311), τῷ 1838 Ἰανουαρίου 1, «Περὶ Ζαχαρίου Υἱοῦ Βαραχίου», ἐν ᾗ μετὰ πολλῆς θρασύτητος σπουδάζων ἀκυρῶσαι τὰς ὑπὸ τοῦ ἑδραιώματος τῆς ἀληθείας δεδοκιμασμένας περί τε τοῦ Ζαχαρίου καὶ τῶν αὐτῷ συνδεδεμένων πραγμάτων ἀρχαίας παραδόσεις, προσφύεται τῇ τοῦ Ἱερωνύμου δόξῃ, πολλὰ τοῖς σοφίσμασι συνείρων ἀπροσδιόνυσα, ἵνα τὰς ὕβρεις ὡς οἴκοθεν ἐννοουμένας παραλίπωμεν. Ἀλλὰ περὶ τούτου ῥηθήσονται ἐφεξῆς τὰ καίρια καὶ πρὸς κατάδειξιν τῆς ἱερᾶς ἀληθείας ἀναγκαιότερα. Σημ. Ἐκδ.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

ΠΕΡΙ ΤΟΥ, ΤΙΣ Ο ΣΚΟΠΟΣ ΤΗΣ ΕΥΑΓΓΕΛΙΚΗΣ ΣΑΛΠΙΓΓΟΣ (α).

Ἀναλαβόντες πάλιν τὴν ἔκδοσιν τῆς Εὐαγγελικῆς Σάλπιγγος, διακηρύττομεν δημοσίᾳ πρὸς ἅπαντας τοὺς ἐν Χριστῷ ἡμῶν ἀδελφοὺς καὶ πατέρας, τούς τε ἐντὸς καὶ τοὺς ἐκτὸς τοῦ Κράτους φιλοθέως συντρέχοντας πρὸς τὴν ἔκδοσιν, ὅτι τὸ περιοδικὸν τοῦτο πόνημα, καθὼς πρὸ τῆς διακοπῆς ἕνα μόνον εἶχε σκοπόν, τὸ κήρυγμα τῆς Εὐαγγελικῆς ἀληθείας, οὕτω καὶ τώρα πάλιν πρὸς τὸν αὐτὸν σκοπὸν ἀποβλέπει. Οὔτε πνεῦμα φιλέκδικον καὶ κότος ἀγανακτήσεως δι' ὅσα προλαβόντως ἀναξιοπαθήσαμεν, οὔτε ζῆλος ἄλογος καὶ φιλόνεικος ἐρίθεια, ἢ ἄλλο τι βίαιον πάθος θέλει μᾶς ἀποπλανήσει ἀπὸ τοῦ ἱεροῦ ἡμῶν καθήκοντος (καθώς τινες ἴσως ὑπωπτεύθησαν). «Οὐ γὰρ τὰ ἑαυτῶν κηρύττομεν, ἀλλὰ τὰ τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ». Τόσον μόνον ὁμολογοῦμεν, ὅτι οὐχὶ ὡς κακοῦργοι καὶ λυμεῶνες, ἀλλὰ μόνον καὶ μόνον ὡς ἐκδόται τῆς Εὐαγγελικῆς Σάλπιγγος ἐξωρίσθημεν, ἁρπαγέντες ἐξαίφνης ἐκ μέσου τῆς βασιλευούσης πόλεως ἄκριτοι καὶ ἀκατάγνωστοι. Καὶ τοῦτο δὲ κατὰ χρέος ὁμολογοῦμεν, οὐχὶ συνιστῶντες ἑαυτούς, «ἀλλ' ἵνα μὴ μωμηθῇ ἡ ἐκκλησιαστικὴ διακονία». Ἄνθρωποι μισοῦντες τὴν ὀρθόδοξον τῆς Σάλπιγγος φωνὴν ἐφυγάδευσαν τὸν ἐκδότην, ὡς οἱ θέλοντες νὰ φράξωσι τὴν πηγὴν ἐκτυφλοῦσι τὸ σωληνάριον· ἀλλὰ «μὴ αὐτοῖς λογισθείη! μὴ δὲ στήσαι Κύριος αὐτοῖς τὴν ἁμαρτίαν ταύτην!» Ἡμεῖς δὲ μήτε δίκην μήτε γλῶσσαν μήτε κά-

---

(α) Καὶ αὕτη ἡ Διατριβὴ ἐγράφη ἀνωνύμως τῷ **1837** ἐν τῇ Εὐαγγελικῇ Σάλπιγγι (Περιόδ. Β. σελ. **129**) ὑπὸ τοῦ ἀοιδίμου ἐκ Ναυπλίας τότε εἰς Ἀθήνας μετωκηκότος, κατ' ἐπίμονον παράκλησιν τοῦ μακαρίτου Γερμανοῦ, ἐπαναλαβόντος μετὰ τὴν ἀπὸ τῆς ἀδίκου ἐξορίας κάθοδον τὴν ἔκδοσιν τοῦ πολυωφελοῦς ἐκείνου Περιοδικοῦ. Ὑπεδήλωσε δ', ὡς καὶ ἀλλαχοῦ ἐσημειωσάμεθα (Βλ. Βίον Γρηγορίου Μητροπ. Εἰρην. καὶ Βατοπ. σελ. **40**), τὴν τοῦ συνταξαμένου χεῖρα ὁ Θεατής, λέγων (Ἀριθμ. **19**. σελ. **3**), «Ἰδιαιτέρως παρετηρήσαμεν. . . καὶ τὸ ἄρθρον περὶ τοῦ τὶς ὁ σκοπὸς τῆς Εὐαγγελικῆς Σάλπιγγος, σχεδιασμένου βέβαια παρ' ἄλλης τινὸς διδασκαλικῆς χειρός, τῆς ὁποίας καλὸν εἶναι ὁ Κ. Γερμανὸς νὰ ἐπικαλῆται συχνάκις τὴν χρυσῆν καὶ μεγαλόδωρον εὐλογίαν». Εὐχερὲς δὲ νοῆσαι, ὅτι ὁ ἀοίδιμος κἀν τούτῳ τῷ ἀρθριδίῳ πρὸς τοῖς ἄλλοις ἄριστα προδιέγραψε τὴν ὁδὸν καὶ ὥρισε τὸν τελικὸν σκοπόν, οὐ μόνον τῆς Ε. Σάλπιγγος, ἀλλὰ καὶ παντὸς μὴ ψευδομένου τοὔνομα μηδ' ἀνοσίως καπηλευομένου τὰ ὅσια ἐκκλησιαστικοῦ περιοδικοῦ συγγράμματος· Σημ. Ἐκδ.

Ακαδημία Αθηνών / Academy of Athens

§. ς'. Οὕτω λοιπὸν εἰς ἔτη πέντε διανύσαντες οἱ νέοι τὸ στάδιον τῆς γραμματικῆς τέχνης καὶ τῶν λεγομένων Γραμματικῶν ἢ Ἐγκυκλίων καὶ ἀνθρωπικῶν μαθημάτων, ἀποβαίνουσιν ἤδη ἱκανοὶ νὰ ἐνασχοληθῶσιν εἰς τὰ τοῦ τριτου βαθμοῦ ὑψηλότερα μαθήματα, τὰ λεγόμενα ἰδιαιτέρως φιλοσοφικά, ἤτοι εἰς τὰς ἐφεξῆς ἐπιστήμας, ἃς διδάσκονται εἰς ἔτη τρία.

Βαθμοῦ Γ'. μαθήματα, αἱ Ἐπιστῆμαι.

Ἀ. ἔτος. α) Καθαρὰ Μαθηματική· ἤτοι, Ἀριθμητική, Ἄλγεβρα ἢ Συμβολικὸς λογισμός, Γεωμετρία, Τριγωνομετρία, Κωνικαὶ τομαί, ἀρχαὶ τοῦ λογισμοῦ τῆς ὡς ἀπείρου θεωρουμένης ποσότητος. Καθ' ἡμέραν. β) Θεωρητικὴ φιλοσοφία, ἤτοι Ἐμπειρικὴ Ψυχολογία, Λογική, Μεταφυσική, Αἰσθηματική· καθ' ἡμέραν· γ) Φυσικὴ ἱστορία, τρὶς τῆς ἑβδομάδος.

Β'. ἔτος. α) Ἐφηρμοσμένη Μαθηματική, ἤτοι Ὑδροστατική, Ἀεροστατική, Ὑδραυλική, Ὀπτικά, Στοιχεῖα τῆς Ἀστρονομίας· καθ' ἡμέραν· β) Πειραματικὴ Φυσική· καθ' ἡμέραν. γ) Πρακτικὴ φιλοσοφία, ἤτοι Ἠθική, Ἠθικὴ Θεολογία, Περὶ δικαίων μετὰ τῆς θεωρίας τῶν διαφόρων πολιτειῶν, καὶ ἡ Παιδαγωγική, ἢ πραγματεία περὶ παίδων ἀγωγῆς· καθ' ἡμέραν.

Γ'. ἔτος. α) Ἱστορία τῆς Φιλοσοφίας· καθ' ἡμέραν· β) Ἱστορία τῆς Φιλολογίας μετὰ τῶν ἀρχῶν τῆς Κριτικῆς καὶ τῶν ταύτης κανόνων περὶ τῆς Ἑρμηνευτικῆς, συντάγματα κατ' ἐπιτομήν· καθ' ἡμέραν. γ) Θεωρία ὑψηλοτέρα εἰς τὴν Ἑλληνικὴν καὶ Λατινικὴν φιλολογίαν· τρὶς τῆς ἑβδομάδος· δ) Ἡ Γαλλικὴ γλῶσσα· τρίς (α).

(α) Συνιστῶμεν ταύτην τὴν γλῶσσαν ὡς καθολικὴν ἤδη γενομένην εἰς ἅπασαν τὴν Εὐρώπην, καὶ ἑπομένως ἀναγκαίαν κατά τινας περιστάσεις ἐσομένην καὶ εἰς τοὺς ἱερεῖς ἡμῶν. Ἐὰν ἦναι πολλὰ βιβλία διεφθαρμένα εἰς αὐτήν, εἶναι καὶ ἄλλα οὐχὶ ὀλίγα διδακτικὰ τῆς ἀρετῆς. Ἔπειτα εἰς ποίαν γλῶσσαν δὲν εἶναι καὶ συγγράμματα κακίας; Ὁ ὀρθόδοξος Ἕλλην εἰς τὴν ἀνάγνωσιν θέλει γίνεσθαι μέλισσα, πανταχόθεν ἀπανθίζων τὸ καλόν. Ὠχυρωμένος τῇ τῶν θείων Γραφῶν ἀληθείᾳ καὶ τῆς ὑγιοῦς φιλοσοφίας τῇ πανοπλίᾳ ὁ χριστιανὸς ἀπόγονος τοῦ Πλάτωνος καὶ Σωκράτους θέλει ἐλεεῖ μηδαμῶς ζηλεύων μηδὲ μιμούμενος τὴν ἀθλιότητα, εἰς ἣν κατήντησε κτηνώδης τις καὶ ὅλη σαρκικὴ καὶ πρὸς αἰσχύνην τῆς ἀληθοῦς σοφίας λεγομένη φιλοσοφία. Καθὼς θέλει διακρίνει τὴν ἀλογίαν καὶ τρισβάρβαρον ἄνοιαν τῶν αἱρέσεων ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας, οὕτω θέλει γνωρίζει καὶ τὴν πλάνην καὶ ἀφροσύνην φιλοσοφικῶν τινων καὶ βαθυσόφων τάχα λογισμῶν, ὅσοι κατεξανέστησαν κατὰ τῆς ἀμωμήτου πίστεως καὶ τῶν ἀρχῶν τῆς ἀρετῆς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ζει (Ὁδηγ. σελ. 188 Ἐρωτ. πά), τὸ προφητικὸν ἐκεῖνο ἐπάγων εἰς μαρτυρίαν «μὴ ἐπέρχεσθαι ἁμαρτίας πατέρων ἐπὶ τέκνα» (Ἰεζεκιὴλ ΙΗ΄.) Ὁ δὲ θεῖος Ἀθανάσιος, τέλος, ἵνα τοὺς ἄλλους παρῶ, λύει τὴν ἀπορίαν ὡδί· «τοῦ Κυρίου λέγοντος· Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν· καὶ πάλιν τοῦ Ἀποστόλου φάσκοντος· Νῦν δὲ τὰ τέκνα ὑμῶν ἅγιά ἐστι, πρόδηλον ὅτι ὡς ἄσπιλα καὶ πιστὰ εἰς τὴν βασιλείαν εἰσέρχονται τὰ τῶν πιστῶν βεβαπτισμένα νήπια· τὰ δὲ ἀβάπτιστα καὶ τὰ ἐθνικὰ οὔτε εἰς βασιλείαν εἰσέρχονται, ἀλλ' οὔτε πάλιν εἰς κόλασιν· ἁμαρτίαν γὰρ οὐκ ἔπραξαν». (Ἀθανάσ. πρὸς Ἀντίοχ. ἄρχοντα περὶ τῶν ἐν ταῖς θείαις Γραφαῖς ἀπορουμένων. Τόμ. Β΄. σελ 309. ἔκδ. Κομηλιαν. 1600). Ἀπὸ ταύτης ἐγὼ Παναγιώτατε Δέσποτα τῆς ἱερωτάτης δόξης ὁρμώμενος ἔγραψα τὰ τῶν χριστιανῶν ἀβάπτιστα νήπια σώζεσθαι τῆς κολάσεως διὰ τὸ ἀκέραιον τοῦ ἤθους καὶ ἀδιάφθορον καὶ ἀμόλυντον. Ἐκ τούτου γάρ, ἐπὶ λέξεως προσεθέμην, ἀμέλει τοι ἐκ τῆς βρεφικῆς ἀκακίας καὶ ἀθωότητος, βεβαιοῦται καὶ ἡ μετὰ θάνατον αὐτῶν σωτηρία, ἤνποτε, πρὶν ἢ φωτισθῶσιν, ἀπαλλαγῶσι τοῦ βίου. Σωτηρίαν δὲ λέγων τὴν ἀπὸ τῆς κολάσεως ἐννοῶ· οὐ γὰρ αὐτὰ δήπου καὶ τῆς βασιλείας τῶν οὐρανῶν εἴρηκα ἀξιοῦσθαι· οὐδὲ τοῖς μὴ κολάσεως ἀξίοις καὶ τιμῆς ἤδη μετεῖναι φρονῶ, ἣν μόνην τοῖς ἐξ ὕδατος καὶ πνεύματος γεννηθεῖσιν οἶδα προωρισμένην· ἦν γὰρ ἂν ἧπου σκαιός τις καὶ ἀναίσθητος κομιδῇ ἢ τοιαῦτά τινα δογματίζων ἢ τοῖς ὑπὸ τῶν θείων Πατέρων νενομοθετημένοις μὴ παρακολουθῶν ἐπὶ τῇ τῶν νηπίων σωτηρίᾳ.

Ἀλλὰ γάρ, ὡς ἔοικεν, ἡ λέξις Σωτηρία τοὺς κατηγόρους λυπεῖ καὶ ταράττει, σωτηρίαν ἴσως παρὰ τῇ θείᾳ Γραφῇ οἰομένους καλεῖσθαι μόνον τὴν τῶν οὐρανῶν βασιλείαν. Ἐπειδὴ τοίνυν καὶ περὶ τούτου μίκρ' ἄττα χρὴ παρενείρειν, ἐπιλελῆσθαί μοι δοκοῦσιν οἱ ἄνδρες οἷον πλατυσμὸν ἡ λέξις ἐμφαίνει· σώζεσθαι γάρ φαμεν οὐ μόνον τὸ χαίρειν καὶ διαρκεῖν καὶ σῷόν τινα ἐπ' οἴκου καὶ λιμένος καταίρειν, ἀλλὰ καὶ τὸ παντοίων δεινῶν καὶ κινδύνων ῥᾴον ἀπαλλάττειν. Καὶ οἶδα μὲν ὅτι περιττός τις εἶναι δοκῶ τὰ τοιαῦτα ἐξονυχίζων καὶ ταῖς ἀπὸ τῶν θεοπνεύστων συγγραφέων ὁμολογίαις διατρανῶν, ἀλλ' ὅμως ἑνὸς ἀντὶ πάντων ἐποίσω τὴν μαρτυρίαν, ἵν' ἄρδην τὰ σαθρὰ τῶν ἀντιπάλων ῥημάτια διασκεδασθῇ. Τρεῖς γὰρ ἔγωγε τάξεις τῶν σωζομένων, παναγιώτατε Δέσποτα, μετὰ τοῦ Θεολόγου πατρὸς ἀποδέ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

σθοῦσι νὰ φεύγωσιν ὡς θανατηφόρον Σειρήνων φωνὴν οἱ φιλογενεῖς διδάσκαλοι, ἂν ἀγαπῶσι τῷ ὄντι τὸ γένος αὐτῶν καὶ τὴν αὐτοῦ εὐτυχίαν. Ποτὲ μὴ ἀκουσθῇ εἰς ἑλληνικὴν σχολὴν τὸ «τοῦτο ἡ μὲν θεία Γραφὴ πρεσβεύει, ἀλλ' ὅσον ἐκ τῆς φιλοσοφίας φαίνεται ἀδύνατον», καὶ ἄλλα τοιαῦτα πανοῦργα καὶ ψοῦλα ἢ κοῦφα καὶ μωρὰ ἐναντιολογήματα πρὸς τὰς αἰωνίας τῆς θεοσεβείας ἀρχάς. Ἐὰν ἡ θεία Γραφὴ εἶναι ἀλήθεια (διότι εἶναι λόγος Θεοῦ), ἕπεται λοιπὸν ὅτι ἡ ἀνθρωπίνη φιλοσοφία ψεύδεται ληροῦσα καθ' ὅσα ἀντιλέγει πρὸς τὴν θείαν Γραφήν. Καὶ ὅσον πλέον ἀντιλέγει πρὸς τὸ ὕψος τῶν μυστηρίων, διότι δὲν καταλαμβάνει αὐτά, τόσον πλέον ἀποδεικνύει τὴν τυφλὴν μωρίαν ἑαυτῆς, διότι δὲν βλέπει τὰ ὅρια τοῦ πεπερασμένου νοὸς αὐτῆς, ἀλλ' ἀπαιτεῖ ἐξ ἅπαντος νὰ κατανοήσῃ τοῦ ἀπείρου ὄντος τὰς τελειότητας καὶ τοῦ αἰωνίου Νοῦ τὰς ἐνεργείας καὶ τὴν πάνσοφον οἰκονομίαν πρὸς σωτηρίαν τοῦ πλάσματος αὐτοῦ! Τὴν τοιαύτην ψευδοσοφίαν, τὴν καὶ ἄλλως λεγομένην τοῦ κόσμου (τῶν διεφθαρμένων δηλονότι καὶ ἀλαζόνων ἀνθρώπων) σοφίαν, δὲν φοβεῖται βέβαια ἡ σοφία τοῦ Θεοῦ, ἡ τὸν κόσμον νικῶσα, ἡ Πίστις ἡμῶν. Τόσους αἰῶνας τοξεύουσι κατ' αὐτῆς οἱ τοῦ κόσμου τούτου φιλόσοφοι, ἀλλὰ τὰ βέλη αὐτῶν πίπτουσιν ἔμπροσθεν αὐτῆς κωφὰ καὶ ἀσθενῆ. Εἰς μάτην ὁ Ἅδης ἀνοίγει τὰ στόματα αὐτῶν ὡς πύλας ὀλέθρου κατὰ τοῦ θεοδμήτου τῆς Ἐκκλησίας οἰκοδομήματος (α). Ἀλλ' ὅμως διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν πολλῶν, οἵτινες ἀπατῶνται καὶ ὑποσκελίζονται πολλάκις ὑπὸ τοῦ ψεύδους καὶ εἰς τὰ φρονήματα καὶ εἰς τὰς πράξεις αὐτῶν, πρέπει νὰ φυλάττωσιν οἱ διδάσκαλοι τοὺς μαθητὰς τῶν διδασκαλιῶν τῆς ψευδοσοφίας, ὡς φυλάττουσιν αὐτοὺς καὶ τῶν τῆς κακοηθείας. Ναί, διδάσκαλοι ἀγαθοί, προσέχετε καὶ τοὺς μαθητὰς καὶ αὐτοὶ ἑαυτούς, μὴ κλέψῃ τις ἀπὸ τῆς καρδίας ὑμῶν τὸν θησαυρὸν τῆς πίστεως διὰ τῆς κενῆς ἀπάτης καὶ τῆς φιλοσοφίας (τοῦτ' ἔστι τῆς τοῦ κόσμου ψευδοσοφίας), ἥτις διδάσκει τὸν ταλαίπωρον ἄνθρωπον καὶ νὰ φρονῇ καὶ νὰ διάγῃ κατὰ τὰ στοιχεῖα καὶ τὰς ἀρχὰς τοῦ πεπλανημένου κόσμου, κατὰ τὰς παραδόσεις ἀνθρώπων τετυφωμένων καὶ οὐ κατὰ Χριστόν (β). Φεύγετε οὐ μόνον τὰς ἀντιθέους δόξας, ἀλλὰ

(α) Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Ματθ. ις, 18.

(β) «Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν» (Κολοσ. β, 8). «Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται

πλεῖστα θεολογικά, καὶ πάντα πλήρη δογματικῆς ἀκριβείας καὶ σαφηνείας καὶ χάριτος μετὰ δεινότητος συλλογιστικῆς· ὧν τὰ μέν εἰσιν ἐκδεδομένα (α), τὰ δ'εἰσέτι ἀνέκδοτα (β). Ἐκ τῶν ἀνεκδότων ἀριθμοῦνται καὶ οἱ παρ'ἡμῶν ἐκδιδόμενοι οὗτοι ὀκτὼ μελῳδικοὶ κανόνες εἰς τὴν Θεοτόκον (γ). Φαίνεται δὲ τούτους ποιήσας ὁ ἀοίδιμος ὀλίγους πρὸ τῆς τελευτῆς ἐνιαυτούς· διότι ἐν ταῖς ᾠδαῖς καὶ νόσου λοιμικῆς καὶ καύσονος μνημονεύει μεγάλου (δ)· καύσονος δὲ μεγάλου μνημονεύει ὁ Φραντζῆς κατὰ τὸ **1446** (ε)· καὶ λοιμὸς ἐμάστιζε (φαίνεται) συνεχὴς κατ'ἐκείνους τοὺς χρόνους καὶ τὴν Κωνσταντινούπολιν, ὡς καὶ τὴν Πάτραν, καὶ ἄλλας χώρας (ζ). Οἱ δὲ Κανόνες

ἐπιθεωρήσας τύποις ἐξέδωκεν ὁ βίου τε καὶ παιδείας ἑλληνικῆς λαμπρότητι διαπρέψας, καὶ ποικίλοις συγγράμμασι καὶ λιπαρᾷ διδασκαλίᾳ καὶ ζήλῳ τῆς πατρῴας εὐσεβείας τὴν ἑλληνικὴν νεολαίαν διὰ μακρῶν ὠφελήσας, καὶ τὴν ἐν Κωνσταντινουπόλει τοῦ γένους κοσμήσας σχολὴν ἀείμνηστος Νικόλαος ὁ Λογάδης. Βλ. Ἀκολουθ. τοῦ ἐν ἁγ. πατρὸς ἡμῶν Μάρκου ἀρχιεπισ. Ἐφέσου τοῦ Εὐγενικοῦ κτλ. ἐν τῷ τῆς Κωνσταντινουπόλ. πατριαρχ. τυπογραφ. **1834**. Ἐν ταύτῃ τῇ Ἀκολουθίᾳ ὁ διδάσκαλος Λογάδης συνεξέδωκε καὶ τοὺς εἰς τὸν ἅγιον Μάρκον ἐπιταφίους στίχους Θεοδώρου διακόνου καὶ Ἱερομνήμονος τοῦ Ἀγαλλιανοῦ συγχρονίσαντος τῷ ἁγίῳ. Βλ. Ἀκολουθ. σελ. **29**. πρβλ. καὶ σελ. **31**.

(α) Οἷον τὰ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος συλλογιστικὰ κεφάλαια (ἀλλαχοῦ τε καὶ παρὰ Ζοιρικαβ. τόμ. β. σελ. **710**). Ἐγκύκλιοι Ἐπιστολαὶ τοῖς ἁπανταχοῦ γῆς Ὀρθοδόξοις κτλ. (**Concil. Tom. XIII p. 677 καὶ 740 Labb.**). Ἔκθεσις τῆς ἐκκλησιαστ. ἀκολουθίας, ἐκδοθ. μετὰ Συμεὼν τοῦ Θεσσαλονίκης, ἐν Ἰασ. Μολδαυ. **1683** κτλ. καὶ εἴ τι ἕτερον, καὶ τὸ καλὸν ἐπιτάφιον ἐπίγραμμα εἰς τὸν ἀοίδιμον Ἰωσὴφ τὸν Βρυέννιον (βλ. Ἰωσὴφ Βρυεν. **Τ. γ.** σελ. ιζ. ἐκδ. Εὐγεν.).

(β) Βλ. **Fabric. Bibl. Græc. vol. XI. p. 670 καὶ 355. Harl.**

(γ) Τούτων ἀντίγραφον σώζεται ἐν τῇ κατὰ Βιέννην τῆς Αὐστρίας Καισαρικῇ Βιβλιοθήκῃ (**Cod. Theol. 187.**). βλ. **Lambec. V. 284.—Cave Scr. Eccl. Hist. vol. 2. p. 304.—Fabric. l. c. p. 677.**

(δ) Καν. α. ᾠδ. δ. σελ. **91**. ᾠδ. ἡ. σελ. **92**. Καν. γ. ᾠδ. ἑ. σελ. **102**. Καν. ε. ᾠδ. δ. σελ. **112. 113. 123. 126.**

(ε) «Τῇ δ' οὖν ιζ. τοῦ ἰουλίου μηνὸς τοῦ αὐτοῦ ἔτους (**6953**, ἤτοι τοῦ **1446**, μ. Χ.) γέγονε παγκόσμιος καύσων καὶ ἄξιος μνήμης». Φραντζ. Χρονικ. Βιβλ. Β. κεφ. ιθ. σελ. **44**.

(ζ) Φραντζ. Χρονικ. Βιβλ. Β. κεφ. θ. πρβλ. καὶ Βιβλ. Α. κεφ. λε. Καὶ τὴν Ῥώμην δὲ καὶ τὴν ἄλλην Ἰταλίαν καὶ τὴν Ἀγγλίαν καὶ τὴν Γαλλίαν λοιμώδης νόσος ἐπενέμετο κατὰ τοὺς χρόνους ἐκείνους. Βλ. **J. Papon de la peste etc. Tom. 2. p. 278. Paris. an. 8.** Ὁ Φραντζῆς μνημονεύει καὶ ἀρχαιοτέρου

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

ΤΗΙ ΜΙΑΙ, ΑΓΙΑΙ,

ΚΑΘΟΛΙΚΗΙ ΚΑΙ ΑΠΟΣΤΟΛΙΚΗΙ

ΕΚΚΛΗΣΙΑΙ

ΤΩΝ ΑΠΑΝΤΑΧΟΥ ΟΡΘΟΔΟΞΩΝ.

ΤΟΔΙ ΤΟΥ ΠΙΣΤΟΥ

ΑΥΤΗΣ ΛΕΙΤΟΥΡΓΟΥ

ΤΟ ΤΕΥΧΟΣ

ΕΥΛΑΒΩΣ ΑΝΕΘΗΚΕΝ

Ὁ φιλόστοργος Ἐκδότης.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

λαμώμενος, ἄγγει καὶ πρὸς τὴν πέτραν τῆς Πίστεως κατερράσσει· τοὺς δὲ πιστοὺς ἀσφαλῶς εἰς τὴν θείαν ἐπίγνωσιν στηρίζει καὶ καθοδηγεῖ. Πολλὴ δὲ καὶ ἡ καλλιέπεια καὶ χάρις καὶ δύναμις ἐν ταῖς αὐτοῦ συγγραφαῖς ἐπανθεῖ, σαφηνείᾳ τε λαμπρᾷ, καὶ κυριολεξίᾳ, καὶ συνθέσεως ἡρμοσμένης ῥεούσης μελιηδεῖ γλυκύτητι κατηγλαϊσμένη. Ὅθεν πάλιν ἐμελῴδησεν ἡ καλλικέλαδος τοῦ θεοφιλεστάτου Φιλοθέου κιννύρα. «Οἱ λόγοι σου πάνσοφε, καὶ τὰ σεπτὰ συγγράμματα, δρόσος οὐρανία, μέλι πέτρας, ἄρτος ἀγγέλων τοῖς ἐντυγχάνουσι, νέκταρ, ἀμβροσία, γλυκασμός, ἥδυσμα, Γρηγόριε, καὶ πηγὴ ζῶντος ὕδατος» (ἐν τῷ κανόνι· ᾠδῇ έ.).

§. δ. Τούτων ἓν τῶν συγγραμμάτων τοῦ θεσπεσίου Πατρὸς ἔχεις ἀνὰ χεῖρας, ἀναγνῶστα, καὶ τὸν παρόντα λόγον (ἑξηκοστὸν τρίτον ἐν τοῖς αὐτοῦ λόγοις ἀριθμούμενον), σμικρότατον μὲν κατὰ τὸ ποσόν, μέγαν δὲ καὶ θαυμαστὸν κατὰ τὴν ἀξίαν, καὶ οἷον ἀνεκτίμητον ἀδάμαντα, ἐν τῷ πνευματικῷ τῆς θείας γνώσεως θησαυρῷ τηλαυγῶς φεγγοβολοῦντα (α). Ἔστι δὲ τὸ σύγγραμμα, ὡς καὶ ἐπιγράφεται, Δεκάλογος τῆς κατὰ Χριστὸν πολιτείας, ἤτοι τῆς Νέας Δια-

---

(α) Ἐκ τῶν ἐν τῇ Συνοδικῇ Βιβλιοθήκῃ τῆς Μόσχας τεθησαυρισμένων χειρογράφων ἐξέδωκεν (ἐν Μόσχᾳ τῷ 1776) καὶ ἄλλους δέκα Λόγους, ἢ Ὁμιλίας τοῦ Πατρὸς ὁ σοφὸς Ἑλληνιστὴς Ματθαΐις (τὸ γένος Γερμανός, ἐκ τῶν διαμαρτυρουμένων)· καὶ προσφωνεῖ τὴν βίβλον τῷ ἡμετέρῳ ἀοιδίμῳ Εὐγενίῳ ἀρχιεπισκόπῳ τότε Σλαβινίου καὶ Χερσῶνος· περαίνει δὲ τὴν προσφωνητικὴν ἐπιστολὴν οὕτωσί, «Δέχου τοίνυν τό, μετὰ τὸν Δημήτριον τὸν Μυροβλύτην, μέγα θαῦμα καὶ ὡράϊσμα τῶν Θεσσαλονικέων, τὸν μέγαν ἐν θεολογίᾳ καὶ ὀρθοδοξίᾳ, καὶ τῷ παλαιῷ ἐφάμιλλον νεώτερον Γρηγόριον. Δέχου, ἄνθρωπε τοῦ Θεοῦ, τὸν λαμπροφωνότατον τῆς ἀληθείας κήρυκα· τὸν τῆς ἀνατολικῆς Ὀρθοδοξίας, τῆς ἀμωμήτου τε καὶ ἀκιβδήλου, γενναιότατον πρόμαχον. Δέχου, τὸν φιλολογώτατον ἐν ἀρχιερεῦσι, τὸν Σοὶ καὶ σοφίᾳ καὶ δόξῃ» (τοῦτ' ἔστι δοξασίᾳ δογματικῇ) «καὶ πολιτεύματι προσοικειούμενον, τὸν χρυσόστομον καὶ χρυσορρήμονα ἐκκλησιαστήν». Καὶ ταῦτα μὲν ὁ καλὸς κἀγαθὸς Ματθαΐις. Κείσθωσαν δὲ καὶ ταῦτα πρὸς καταισχύνην τῆς λοιδόρου ματαιοσοφίας τοῦ σφόδρα Παποσεβοῦς Ἀλλατίου· ὅστις τηκόμενος καὶ αὐτὸς ὑπὸ τοῦ δεινῶς ἐν τοῖς σπλάγχνοις τῶν Δυτικῶν ἐντετηκότος μίσους κατὰ τοῦ θείου Παλαμᾶ (οὐχ ἧττον, ἢ κατὰ Φωτίου καὶ Μάρκου τοῦ Εὐγενικοῦ), σφαδάζει καὶ ἀγανακτεῖ πρὸς τὰ τοῦ Φιλοθέου εἰς τὸν ἅγιον ἐγκώμια, βύων τὰ ὦτα καὶ κωφεύων, ὡς ἀσπίς, ἥτις οὐκ εἰσακούει φωνῆς ἐπᾳδόντων, φαρμακευομένη παρὰ σοφοῦ. [Μετὰ δὲ τὸν Ματθαΐϊν ἐξεδόθησαν, ὡς ἔφθημεν εἰπόντες (σελ. 569), «Ὁμιλίαι τεσσαράκοντα καὶ μία» ἐν Ἱεροσολύμοις, ἐν αἷς αἱ δέκα προεκδεδομέναι· ὡς πέρυσιν ἐδηλώσαμεν ἐκδιδόντες καὶ ἡμεῖς τὰς μὴ ἐν Ἱεροσολύμ. ἐκδοθείσας ΚΒ'. Ὁμιλίας μετ' ἄλλων τινῶν ἀνεκδότων· βλ. Προλεγ. σελ. ιγ. σημ. α]·

τούτου κατασκευάζων τὸ παράδοξον ἐκεῖνο καὶ πολυύμνητον σημεῖον, Παρθένον γεννήσασαν καὶ τὴν παρθενίαν μὴ διαφθείρασαν» (α). Ταύτην τὴν ἐκ παραδόσεως ἱστορίαν τοῦ Ζαχαρίου καὶ ὁ κατὰ τὸ 380. μ. χ. ἀναφανεὶς δυσσεβὴς ἐκεῖνος Ἐλβίδιος, ὁ τῶν δειλαίων καὶ τρισαθλίων τῆς Ἀειπαρθένου πολεμίων δείλαιος πατὴρ καὶ πρωτοδιδάσκαλος, ἀπεδέ-

---

ὑπὲρ νοῦν μεγαλείων ᾠκονόμησε καὶ τὴν εἰς τὰ Ἅγια τῶν Ἁγίων ἔνδοξον αὐτῆς καθιέρωσιν καὶ διατροφήν, ὡς οἱ πατέρες παρέδωκαν, καὶ ἡ Ἐκκλησία λαμπρῶς ἐν ταῖς αὐτῆς ἁγιστείαις ὑμνεῖ; (Βλ. Μηνολογ. Νοεμβρ. κά, καὶ Σεπτεμβρ. έ, καὶ κγ'). Πολλοὶ δὲ καὶ τῶν σοφωτάτων Διδασκάλων τῆς εὐσεβείας ἐπανηγύρισαν τὴν εἰς τὰ Ἅγια τῶν Ἁγίων Εἴσοδον τῆς Θεοτόκου καὶ διὰ λόγων ἑορταστικῶν, ὡς ὅ,τε ἅγιος Γερμανὸς ὁ Κωνσταντινουπόλεως Πατριάρχης (τῷ 720), καὶ ἄλλος Κωνσταντινουπόλεως Ταράσιος ὁ ἱερώτατος (τῷ 784. μ. χ. βλ. Combef. Auctar. nov. Biblioth. Patr. T. 2. p. 1411) καὶ ὁ Νικομηδείας Γεώργιος (τῷ 880), καὶ Θεοφύλακτος ὁ τῆς Βουλγαρίας καὶ τῆς Ἐκκλησίας φωστήρ, καὶ ὁ Θεσσαλονίκης Ἅγιος Γρηγόριος ὁ Παλαμᾶς (ταῦτα δὲ τὰ ἐγκώμια καὶ εἰς τὸ ἁπλούστερον παρέφρασεν ὁ μακαρίτης Νικόδημος. Βλ. τὸν Συναξαριστὴν αὐτοῦ Νοεμβρ. κά· [Ἐκδέδονται δὲ τὰ δύο τοῦ θεσπεσίου Παλαμᾶ τὸ πρῶτον ὑφ' ἡμῶν σελ. 120 —180. Ἀθήνησι, ᾳωξα. Σημ. Ἐκδ]. Πρόσθες καὶ τὸ τοῦ σοφοῦ Λέοντος τοῦ Αὐτοκράτορος, καὶ ἕτερον Ἰωάννου Θεσσαλονίκης Ἐπισκόπου, καὶ ἄλλο Ἰακώβου Μοναχοῦ τοῦ ἐκ τῆς Μονῆς τοῦ Κοκκινοβάφου, κ. τ. λ. Καὶ Νικήτας δὲ ὁ Παφλαγὼν (τῷ 880) ἐν τῷ εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου καὶ Φώτιος ὁ ἱερώτατος ἐν τῷ εἰς τὸ Γενέσιον αὐτῆς καὶ ἐν Ἀμφιλοχίοις [Ζητήμ. κδ. σελ. 38] ὕμνησαν «τὴν εἰς τὸν Ναὸν αὐτῆς εἴσοδον ἔτι τριετιζούσης». Ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν ἀρχαιοτάτων Πατέρων Εὐόδιος ὁ τῶν Ἀποστόλων ἐν Ἀντιοχείᾳ διάδοχος (περὶ τὸ 68, μ. χ.) ἐν τῇ εἰς αὐτὸν ἐπιγεγραμμένῃ ἐπιστολῇ (παρὰ Νικηφόρ. Ἐκ. Ἱστ. 6', 3) τοιαῦτα μεγαλεῖα περὶ τῆς Θεοτόκου καθιστορεῖ (ἐπιγράφεται δὲ Φῶς ἡ ἐπιστολή· κἂν ἀμφιβάλλεται τὸ σύνταγμα τοῦτο παρὰ τοῖς Κριτικοῖς, ἀλλ' ὅμως ὑπάρχει πάντως ἀρχαιότατον καὶ μάλιστα πρέπον εἰς ἄνδρα ἀποστολικόν)· ὁμοίως καὶ Εὐστάθιος ὁ Ἀντιοχείας ὁ ὁμολογητὴς (τῷ 325. μ. χ.) ἐν τῇ εἰς αὐτὸν ἀποδιδομένῃ Ἑξαημέρῳ τοιαῦτα διηγεῖται περὶ τῆς Θεοτόκου συμφώνως μετὰ Γρηγορίου τοῦ Νύσσης (λόγῳ εἰς τὴν Χριστοῦ Γέννησιν). Ὡσαύτως καὶ ὁ Μ. Ἀθανάσιος (ἢ ὅστις ἄλλος ὀλίγῳ τούτου νεώτερος ὑποτίθεται πατὴρ τῆς εἰς Ἀπογραφὴν τῆς Ἁγ. Μαρίας κτλ. ὁμιλίας). «Οὐ σὺ» (λέγει πρὸς τὴν Θεοτόκον ὡς ἐκ τῆς Ἐλισάβετ), «Οὐ σὺ εἶ ἡ ὡς αἰδέσιμος Παρθένος ἐν τοῖς ἱεροῖς περιβόλοις ἀνατραφεῖσα;» (Μ. Ἀθαν. Τ. δ'. σελ. 20). Ἀνδρέου δὲ τοῦ Κρήτης φωστῆρος (τῷ 639) τὴν ῥῆσιν γράφομεν ἐφεξῆς. Πρβλ. καὶ τὸν θεῖον Δαμασκηνὸν (περὶ Ὀρθοδόξ. πίστ. δ'. 87. καὶ λόγ. εἰς τὰ γενέθλ. τοῦ Προδρ.). Ἐκ δὲ τῶν νεωτάτων ἀρκείτω μνημονευθεὶς Ἠλίας Μηνιάτης ὁ εὐγλωττότατος.

(α) Ὁμιλ. κέ. εἰς τὴν ἁγ. τοῦ Χριστοῦ γέννησ. Τ. α. σελ. 590.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

λαμπρῶν τεκμηρίων τὴν εὐσέβειαν αὐτοῦ ἐμαρτύρησε, πανηγυρίζων μετὰ πολλῆς παρατάξεως καὶ πομπῆς βασιλικῆς τοῦ ἁγίου τὴν ἑορτήν. Ὁ δὲ νῦν (τῷ 1823) εὐτυχῶς βασιλεύων ὁμώνυμος τοῦ Ἁγίου Ἀλεξάνδρου Ἀλέξανδρος ὁ Α΄, ὁ εὐλογημένος Αὐτοκράτωρ καὶ κράτιστος τῆς Ἐκκλησίας ὑπέρμαχος, τοῦτον τὸν Ἅγιον διὰ τὸ ὁμώνυμον μετὰ πάσης τῆς βασιλικῆς αὐτοῦ πανδαισίας λαμπρῶς ἑορτάζων, καὶ τοῦτον μάλιστα ἔχων ἄγγελον φύλακα καὶ σύνοικον καὶ συνοδοιπόρον, τὰ καλὰ καὶ λαμπρὰ κατὰ τῶν ἐχθρῶν τῆς Ῥωσσίας ἔστησε τρόπαια μετὰ δόξης ἀγηράντου, κατὰ τῆς παγκοσμίου τυραννίδος ἐντελῶς θριαμβεύσας, καὶ τῆς Εὐρώπης ἁπάσης πάγκοινος εὐεργέτης καὶ ῥύστης καὶ σωτὴρ τῆς Πατρίδος γενόμενος σὺν Θεῷ.

Ἀλλὰ καὶ ἡ Ἑλλὰς ἤδη εἰς τὴν σὺν Θεῷ ἐνεργουμένην ἀνάστασιν ἑαυτῆς τὸν μέγαν ἐπικαλεῖται Ἀλέξανδρον προστάτην καὶ βοηθόν, ὡς μάρτυρα αὐτόπτην τῆς φρικτῆς καὶ μιαιφόνου λύσσης τῶν βαρβάρων γενόμενον καὶ ἀναίμακτον νικητὴν καὶ κραταιὸν τῆς εὐσεβείας ὑπέρμαχον καὶ τῆς μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας θερμότατον ὑπερασπιστήν. Αὐτὸς πρῶτος ὁ θεῖος ἀνὴρ διέσωσεν ἀβλαβῆ τὰ δικαιώματα τῆς μετὰ τῶν Ῥώσσων πνευματικῆς ἑνώσεως καὶ συγγενείας τῶν Γραικῶν. Αὐτὸς, ὡς Μάρκος ὁ Εὐγενικὸς, τῷ τῆς εὐσεβείας ἑαυτοῦ ζήλῳ διέῤῥηξε τὰς πλεκτάνας τοῦ σχίσματος, ἀφ' ὧν ἐκινδύνευεν ἡ Ῥωσσία. Αὐτὸς προσήλωσεν ἀσφαλέστερον τὴν εὐσέβειαν τῶν Ῥώσσων πρὸς τὴν πνευματικὴν αὐτοῦ μητέρα, τὴν Ἐκκλησίαν τῶν Γραικῶν. Τιμῶμεν λοιπὸν καὶ γεραίρομεν εὐσεβῶς τὸν ἱερώτατον τοῦτον Ἄνακτα, καὶ τὴν Ἁγίαν αὐτοῦ ἐπικουρίαν θερμῶς ἐξαιτούμεθα, καὶ πρὸς Θεὸν αὐτὸν ἱκέτην καὶ πρεσβευτὴν προβαλλόμεθα κατὰ τοὺς ἱεροὺς τῆς εὐσεβείας θεσμούς. Ἡ γὰρ Καθολικὴ Ὀρθόδοξος Ἐκκλησία, ὡς πάγκοινος Ἐκκλησία τῶν ἐθνῶν, μνημονεύει καὶ δοξολογεῖ ἐτησίως πάντας τοὺς ἐν ὅλῳ τῷ κόσμῳ εὐαρεστήσαντας εἰς Θεὸν διὰ Πίστεως, καὶ διὰ θαυμάτων μαρτυρηθέντας, καὶ συνοδικῇ διαγνώσει κανονισθέντας, καὶ τηλαυγῶς ἀναφανέντας κληρονόμους τῆς αἰωνίου δόξης τῶν Ἁγίων ἐν τῷ φωτί. Καὶ ἡ Μεγάλη Ἀνατολικὴ Ἐκκλησία ἀποδέχεται καὶ δοξάζει πάντας τοὺς ἐν τῇ εὐσεβεστάτῃ Ῥωσσίᾳ τελειωθέντας Ἁγίους, ὅσους ἡ θεόπνευστος καὶ ἱερὰ Σύνοδος τῆς τῶν Ῥώσσων Ἐκκλησίας ἐκανόνισε καὶ ἐδόξασεν, ὡς καὶ αὖτη πάλιν τοὺς ἐν τῇ Ἑλλάδι καὶ ἔκπαλαι καὶ νεωστὶ δεδοξασμένους Ἁγίους εὐσεβῶς πανηγυρίζει. Μία ὑπάρχει καὶ ἐν τῇ Ἑλλάδι καὶ ἐν τῇ Ῥωσσίᾳ ἡ Ἐκκλησία. Εἷς ὁ τῆς

Ἡλίκης δὲ τιμῆς καὶ εὐνοίας ἠξίουν τότε τὸν ἀοίδιμον οἵ τε τὴν ἱερὰν Σύνοδον κοσμοῦντες ἱεράρχαι καὶ τῶν λογάδων τοῦ ἔθνους οἱ ἔγκριτοι μαρτυρεῖ μὲν καὶ ἡ τοῦ προστάτου καὶ προδέκτορος τῆς Κατηχήσεως ἱερομάρτυρος Διονυσίου τοῦ Ἐφέσου ἐπιστολὴ (σελ. β) καὶ ἡ παρατεθεῖσα (σελ. κέ. σημ.) ἔγγραφος Γνώμη τοῦ συμμαρτυρήσαντος τῶν Δέρκων μητροπολίτου Γρηγορίου, «τοῦ καυχήματος τῆς Πελοποννησου καὶ πάσης Ἑλλάδος, τῆς λαμπάδος τῆς Ἐκκλησίας καὶ τῆς Θεολογίας, τῆς σάλπιγγος τοῦ Θείου κηρύγματος», ὡς ὁ ἀοίδιμος γοε-

---

Πνεύματι καὶ τοὺς οὐρανοὺς καὶ τὰς οὐρανίους πεποιηκότα δυνάμεις»· ἡ δὲ 55 ἀκριβής ἐστι μετατύπωσις· ἀλλ' ἐν τῇ 56 πλὴν τοῦ περὶ τὴν ἔκφρασιν τῆς τοῦ Βαπτίσματος τελετῆς διορθώματος, διαφόρως ἐν γοῦν ταῖς λέξεσιν ἐκτεθειμένου, ἢ ὡς ἡ Σύνοδος ἔγραψε (οἷον ἀντὶ Βυθίζεται κεῖται Βαπτίζεται κτλ.)· πλὴν τούτου ἐλλείπουσι τὰ «οὐχὶ μόνον τὸ ὕδωρ . . πνεύματος», τὰ Εὐαγγελικὰ (βλ. σελ. 584), καὶ πρόσκεινται τὰ τοῦ Πλάτωνος (σελ. 434) «τουτέστι συγχωρεῖ . . . μεσίτου»· ὡσαύτως καὶ κατωτέρω ἐκ τοῦ αὐτοῦ Πλάτωνος (αὐτ.) προστέθεινται μετὰ τὰ «εἰς τὸ καλὸν» καὶ τὰ μᾶλλον τὴν ἔννοιαν ἐξαπλοῦντα οὐδὲν δὲ πλέον τῶν προηγουμένων ἔχοντα, «ὁ νοῦς φωτίζεται . . . πρὸς αὐτόν»· καὶ ὀλίγῳ κατωτέρω ἀντὶ τῶν εὐαγγελικῶν (βλ. σελ. 584) «οὐχὶ μόνον διότι . . . κατακριθῇ», ἃ καὶ ὁ Πλάτων ἔχει, γέγραπται «καθὼς λέγει ὁ ἴδιος Χριστὸς «ἐὰν μή τις γεννηθῇ . . βασιλείαν τοῦ Θεοῦ»· ἀποκέκοπται δὲ καὶ τὰ «προσφερόντων αὐτὰ», τὰ πρὸ τοῦ «ἀναδόχων»· ἐν δὲ τέλος τῇ 57 (τῆς γὰρ 58 ἐγένετο ἀπαράλλακτος ἡ μετατύπωσις) ἀποκέκοπται μὲν ἡ περὶ τῶν νηπίων παρὰ τῆς Συνόδου ἀποδεκτὴ γενομένη καὶ συμπληρωθεῖσα (σελ. 15) περικοπή· διώρθωται δὲ (ἀληθέστερον δ' εἰπεῖν ἔσφαλται) τὸ «τὴν ἐκ τοῦ Βαπτίσματος χάριν» εἰς «τ. ἐ. τ. πνεύματος χάρ.», ἵν' ᾖ «τὸ Πνεῦμα σφραγίζει καὶ βεβαιόνει τὴν ἐκ τοῦ Πνεύματος χάριν»! εἶεν. Ἠπορήσαμεν οὖν, ὡς εἴπομεν, ἀγνοοῦντες τίς ὁ τὴν βίβλον παραποιήσας· ὁ μὲν γὰρ συγγραφεὺς διεμαρτύρατο ἐνώπιον τῆς Συνόδου κατὰ τοῦ τρόπου, καθ' ὃν οἱ περὶ τὸν Πατριάρχην τὰς διορθώσεις διεπέραναν, καὶ εἶπε πῶς ἔδει γενέσθαι αὐτὰς (σελ. 556)· ἡ δὲ Σύνοδος ἐγκρίνασα ταῦτα πέμπει τὰ δύο μόνον συμπληρώματα ἐν σελίσιν ἰδίαις (σελ. 16)· τίνες λοιπὸν οἱ κατατολμήσαντες τὴν (ἄλλοι εἰπάτωσαν τὸ προσῆκον ἐπίθετον) πρᾶξιν ταύτην. Ἡμῖν γοῦν ἱκανὸν ἂν εἴη εἰπεῖν, ὅτι οὐ μόνον ἐν τῷ ἡμετέρῳ ἀλλ' οὐδ' ἐν ἄλλῳ οὐδενὶ ἀντιτύπῳ εἴδομεν τὴν παραποίησιν ταύτην, οὐδ' ἐν τῷ, ἐξ οὗ ἡ ἐν Βιέννῃ τῷ 1820, ὡς προείπομεν (σελ. θ), ἐγένετο μετατύπωσις, φαίνεται ἐμφιλοχωρήσασα· καὶ γὰρ οὐχ ὅπως οὐδεμία τῶν ἐν ταῖς παραπεποιημέναις σελίσι μεταβολῶν ὑπαρχει ἐν τοῖς μετατυπωθεῖσιν, ἀλλὰ καὶ τὸ περὶ τῶν νηπίων ἐκτέθειται ἀπαραλλακτως ὡς ἐν τῇ πρώτῃ ἐκδόσει, ἄνευ τῆς συνοδικῆς συμπληρώσεως· Εἰ δὲ δεῖ τι καὶ περὶ τῶν παραπεποιηκότων τὴν βίβλον εἰκοτολογῆσαι, πιθανώτατον δοκεῖ ὅτι οἱ τὰς τοῦ Πατριάρχου ἀδυναμίας κολακεύοντες (βλ. σελ. 581. σημ.)

18
15

Ακαδημία Αθηνών / Academy of Athens

μὴ καθαρίσει κύριος ὁ Θεός σου τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

Δ΄. Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων, τοῦ ἁγιάζειν αὐτήν. Ἐξ ἡμέρας ἐργᾷ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα κυρίῳ τῷ Θεῷ σου.

Ε΄. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς.

ς΄. Οὐ φονεύσεις.

Ζ΄. Οὐ μοιχεύσεις.

Η΄. Οὐ κλέψεις.

Θ΄. Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

Ι΄. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὔτε τὸν ἀγρὸν αὐτοῦ, οὔτε τὸν παῖδα αὐτοῦ, οὔτε τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε παντὸς κτήνους αὐτοῦ, οὔτε ὅσα τῷ πλησίον σου ἐστί.

Σημ. Α΄. Εἰς ὅλων τῶν ἀνθρώπων τὰς καρδίας εἶναι τετυπωμένος ὁ θεῖος νόμος, ἤγουν ἡ φυσικὴ δύναμις τοῦ διακρίνειν τὸ καλὸν ἀπὸ τὸ κακόν. Ὅσον ἂν ἦναί τις ἀμαθής, γνωρίζει ὅτι εἶναι καλὸν τὸ λατρεύειν καὶ ἀγαπᾷν τὸν Θεόν, τὸ τιμᾷν τοὺς γονεῖς, τὸ εὐχαριστεῖν τοὺς εὐεργέτας, τὸ βοηθεῖν τὸν πλησίον, καὶ ἐξ ἐναντίας, ὅτι εἶναι κακὸν τὸ βλασφημεῖν τὸν Θεόν, τὸ κακοποιεῖν τὸν πλησίον καὶ τὰ τοιαῦτα· οὐδεὶς ἀμφιβάλλει διὰ τὰ δύω ταῦτα ἀξιώματα « Ὃ σὺ μισεῖς, ἑτέρῳ μὴ ποιήσῃς », καὶ « Ὅπως θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ποιεῖτε καὶ ὑμεῖς αὐτοῖς ὁμοίως »· δηλαδή, α΄.) ὅ,τι δὲν θέλεις νὰ κάμνωσιν ἄλλοι πρὸς σέ, μὴ κάμνε μηδὲ σὺ πρὸς τοὺς ἄλλους· καὶ β΄.) ὅ,τι θέλεις νὰ κάμνωσιν ἄλλοι πρὸς σέ, κάμνε καὶ σὺ πρὸς τοὺς ἄλλους. Τὸ πρῶτον εἶναι ἀξίωμα τοῦ δικαίου· τὸ δεύτερον εἶναι ἀξίωμα τοῦ καθήκοντος. Ἀπὸ ταῦτα τὰ δύω ἀξιώματα πηγάζει καὶ τρίτον ἀξίωμα, τὸ τοῦ τιμίου λεγόμενον, ἤγουν ὅ,τι θέλεις νὰ πράττωσιν ἄλλοι πρὸς ἑαυτούς, πράττε καὶ σὺ πρὸς σεαυτόν. Οὗτος ὁ νόμος ὀνομάζεται Φυσικός καὶ Ἔμφυτος, καὶ ἡ κρίσις, τὴν ὁποίαν κάμνει τις περὶ ἑαυτοῦ κατὰ τοῦτον τὸν νόμον, ὀνομάζεται Συνείδησις. Ὁρίζεται δὲ ἡ Συνείδησις ἐνέργεια τῆς ψυχῆς, διὰ τῆς ὁποίας κρίνει, ἂν αἱ πράξεις αὐτῆς ἦναι σύμφωνοι πρὸς τὸν νόμον, ἢ

σαμεν (σελ. 274), ἁσματικὴ ἀκολουθία μετὰ τοῦ βίου τοῦ ἁγίου. Ἔστι δὲ καὶ αὕτη ἁγλαὸς καρπὸς τοῦ θεοφυτεύτου δένδρου τῆς ἀγάπης καὶ ἑνότητος τῶν δύο ὀρθοδόξων Ἐκκλησιῶν, τῆς τε καθ' ἡμᾶς καὶ τῆς Ῥωσσικῆς, τοῦ ἐν τῇ καρδίᾳ παντὸς μὲν ὀρθοδόξου θάλλοντος καὶ εὐθηνοῦντος, μάλιστα δ' ἐν τῇ τοῦ ἀοιδίμου, ὃς παντὶ σθένει ἠγωνίζετο πρὸς συγκράτησιν καὶ ἐνίσχυσιν τοῦ ἀναλώτου τούτου περιτειχίσματος τῆς πόλεως τοῦ Θεοῦ, τῆς ὀρθοδοξίας. «Μία (φρονῶν καὶ κηρύττων πάντοτε καὶ πανταχοῦ), μία ὑπάρχει καὶ ἐν τῇ Ἑλλάδι καὶ ἐν τῇ Ῥωσσίᾳ ἡ Ἐκκλησία. Εἷς ὁ τῆς εὐσεβείας κανών. Μία ἡ Ὀρθοδοξία. Ἓν τὸ πανάγιον Πνεῦμα τὸ ἁγιάζον μὲν τοὺς ἁγίους, φωτίζον δὲ τοὺς Ἱεράρχας εἰς τὴν τούτων διάγνωσιν» κτλ. (σελ. 262). Συνεπέῤῥωσε δὲ τὴν πρὸς τὸ ἔργον ὁρμὴν αὐτοῦ καὶ ὁ ἀείμνηστος καὶ θερμὸς τῶν πολυστόνων ἀδελφῶν Ἑλλήνων προστάτης ἐν τοῖς καιροῖς ἐκείνοις γενόμενος πρίγκηψ Ἀλέξανδρος ὁ Γαλίτσηνος, ἀνὴρ τὸν ὑπὲρ τῆς ὁλομελείας καὶ συν-

---

ζοντας τὰ Καπιτάλια ἀπὸ τὴν Ῥωσσίαν νὰ ἤθελαν ἀγορασθοῦν μούλκια εἰς ὄνομα τῶν Ῥιζάριδων διὰ κατάθεσιν τοῦ Σχολείου· ἂν ἡ Βουλὴ καὶ οἱ ἐπίτροποι τὸ κρίνωσι δι' ὠφελιμώτερον.

Εἶδον καὶ τὴν καλήν σας συμβουλήν, τίνι τρόπῳ νὰ διατάττω τὴν κάσσαν μου· καὶ ἑτέρα συμβουλὴ τὸ νὰ προσφέρω εἰς τὴν Βουλὴν ἀφιέρωσιν διὰ τὸ γένος. Αὐτὸ καὶ μόνος μου τὸ ἐξεύρω, εἶναι τὸ πλέον καλὸν πρᾶγμα, ζῶντας ὁ ἄνθρωπος εἰς παρομοίαν περίστασιν καὶ παρόντων καιρῶν νὰ φανῇ εὐεργέτης εἰς τὴν πατρίδα· ἐγὼ τὸ νόημά σου καὶ ὄντας τότε εἰς τὸν θάνατον τοῦ μακαρίτου, ὅπου μοῦ εἶχες ἀναφέρει ἐξωτερικῶς ὁμιλίαν, ἐννοοῦσα τὴν ὁμιλίαν σου, καὶ ὄντας ζῶντας ὁ μακαρίτης εἴχαμεν ὁμιλίαν ἐκεῖνα ὅπου εἴχαμεν προσφέρει εἰς τὰς ἀρχάς, ὡς γνωρίζεις, τὰ μισὰ νὰ δίνωνταν τώρα, ἤθελαν εὕρουν τὸν τόπον τους ἀσυγκρίτως καλλίτερα. Μάρτυν βάζω τὸν Θεὸν καὶ νὰ δώσῃ ὁ Θεὸς νὰ συναχθοῦν· εἰς Βλαχομπουγδανίαν καὶ Κωνσταντινούπολιν ἡ μισὴ κατάστασίς μας εὑρίσκεται εἰς βερεσέδια, καὶ δὲν μοῦ ἔστειλαν οὔτε χίλια γρόσια, τὰ ὁποῖα τὰ ἥμισυ ἂν ἤθελε συναχθοῦν, εἶμαστον σε καιρὸ χωρὶς νὰ μὲ ἀναγκάσῃ ἄλλος, καὶ ἡ διάθεσίς μας ἡμεῖς ἐστάθηκεν γνωστή, πλὴν τί τὸ ὄφελος, ἐχάθηκαν χωρὶς καμμίαν ἐνέργειαν. Ἤθελα νὰ ἦσαι ἐδῶ νὰ σοῦ δείξω τὰ ὅσα ἔχομεν διασκορπισμένα, καὶ τότε ἤθελες μοῦ ἀναφέρεις ἂν ἐπιδέχηται εἰς παρόμοιον καιρὸν διὰ νὰ κάμω αὐτὴν τὴν εὐεργεσίαν· ὡσὰν εἰς τὴν Βουλὴν ἐγὼ ἐνόησας τὴν προθυμίαν μου, ἀφιερόνομαι ὅλος εἰς τὴν διαταγήν της, καὶ ὁ σκοπός μου εἶναι ξεμπερδεύοντας ἀπὸ ὅ,τι ἤθελα ν' ἀποσυνάξω καὶ νὰ ξεκάνω, νὰ πηγαίνω ἐκεῖ, ὅπου θελει κατασταθῇ ἡ Βουλή, διὰ νὰ βαλθῇ ὁ σκοπός μου ζῶντας εὑρισκόμενος καὶ ἐγὼ ὁ ἴδιος· καὶ ὁ Θεὸς νὰ μοὶ τὰ φέρῃ δεξιά. Τὸ ἐρχόμενον καλοκαῖρι θέλει πηγαίνω ἀπὸ τὴν Ἀντέσσαν, καὶ ἀπὸ ἐκεῖ θέλει τὸ ἀποφασίσω. Τὸ ἐναντίον, οὐ μὴ γένοιτο, θέλει

Ακαδημία Αθηνών / Academy of Athens

οὔτε τῶν ἐν τῇ ἀπλανεῖ, οὔτε τῶν ἐν ταῖς κατωτέρω σφαίραις» (α). Καὶ πάλιν ἐφεξῆς ὁ αὐτὸς «Οἱ μάγοι γὰρ ἰδόντες θεοσημίαν ἐν οὐρανῷ, ἐστηχάσαντο τὸν μετὰ τοῦ ἄστρου προφητευόμενον ἄνθρωπον ἐπιδεδημηκέναι τῷ βίῳ· καί, ὡς πάντων δαιμόνων καὶ τῶν ἐν ἔθει αὐτοῖς φανταζομένων καὶ ἐνεργούντων κρείττονα, προλαβόντες προσκυνῆσαι ἠθέλησαν» (β). Καὶ ἀλλαχοῦ δὲ πάλιν ὁ αὐτὸς οὐχ' ἁπλῶς ἀστέρα καινόν, ἀλλὰ θείαν τινὰ δύναμιν ἀστερόμορφον νομίζει τὸν ἀστέρα, καὶ ταύτην οὐχ' ἁπλῶς ἀγγελικὴν (καθὼς ἄλλοι τῶν πατέρων πολλοί, περὶ ὧν λέγομεν ἐφεξῆς)· ἀλλὰ καὶ αὐτοῦ τοῦ παναγίου πνεύματος παράδοξον ἐπιφάνειαν· λέγει δὲ ταῦτα ἐπὶ λέξεως, «Ἀλλά με πρὸς ἀπορίαν κινεῖ διότι ῥηθέντος περὶ τοῦ ἀστέρος ὅτι προῆγε τοὺς μάγους ἕως οὗ ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον, περαιτέρω οὐδὲν ἐῤῥέθη· οὔτε γὰρ εἰ ἀνεχώρησεν ἐκεῖθεν, ἢ ἐξηφανίσθη, ἢ ἀνελήφθη, οὔτ' ἄλλο τι τοιοῦτον οὐδὲν ἡ εὐαγγελικὴ διήγησις ἱστόρησεν· ἀλλὰ τοῦτο μόνον, ὅτι ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον· μήπως οὖν τοῦ ἁγίου πνεύματος δύναμις ἦν ὁ ἀστὴρ ἐκεῖνος, καθάπερ καὶ ἐπὶ τοῦ βαπτίσματος ἐν εἴδει περιστερᾶς; τὸ Πνεῦμα τοῦ Θεοῦ καταλθὸν ἔμεινεν ἐπὶ τὸν Ἰησοῦν, καὶ οὐκέτι ἀνεχώρησεν»; (γ). Ἀλλ' αὕτη μὲν ἡ γνώμη μόνου τοῦ Ὠριγένους ἰδία φαίνεται, καὶ πρὸς οὐδένα τῶν ἄλλων θείων Πατέρων κοινή.

Γ) Κλήμης δ' Ἀλεξανδρεὺς ὁ ἱερώτατος, «Ἀνέτειλε (λεγει) ξένος ἀστὴρ καὶ καινός, καταλύων τὴν παλαιὰν ἀστροθεσίαν, καινῷ φωτὶ οὐ κοσμικῷ λαμπόμενος» (δ).

Δ) Οὕτω καὶ Εὐσέβιος ὁ σοφώτατος «Ὁ δ'οὖν (ἀστὴρ ἐκεῖνος) ξένος καὶ οὐ συνήθης· οὐδὲ τῶν πολλῶν καὶ γνωρίμων εἷς, ἀλλά τις καινὸς καὶ νεός ἀστὴρ ἐπιφανεὶς τῷ βίῳ, σημεῖον ξένου φωστῆρος ἐδήλου, καταλάμψαντος τῷ παντὶ κόσμῳ, ὃς ἦν ὁ Χριστὸς τοῦ Θεοῦ μέγας καὶ νέος ἀστήρ, οὗ τὴν εἰκόνα συμβολικῶς ὁ φανεὶς τότε τοῖς μάγοις ἐπεφέρετο» (ε).

Ε) Ὁ δὲ Μέγας Βασίλειος «Ἐνταῦθα (λέγει, ἐν τῇ Χριστοῦ γεννήσει) οὐδεὶς τῶν ὄντων ἀστέρων τὴν βασιλικὴν γέννησιν ἐσήμαινεν, οὐδ' αὐτὸς (ὁ τοῖς μάγοις ἐπιφανεὶς) τῶν συνήθων ἦν· οἱ γὰρ τῇ κτί-

---

(α) Ὠριγ. κατὰ Κέλσ. Α. 58. Τ. α. σελ. 373.
(β) Αὐτ. αὐτ. σελ. 374.
(γ) Ὠριγέν. εἰς Ἀριθμ. Ὁμιλ. ιη. ἐκ τῆς λατινικῆς μεταφράσεως Ῥουφίνου.
(δ) Κλήμ. Ἐκλογ. σελ. 573. — (ε) Εὐσέβ. Εὐαγγ. Ἀποδείξ. θ. σελ. 261.

γους τοὺς περιεχομένους σημαντικοὺς τῶν ἐσομένων δηλοῖ ἀπαρτισθησομένους, καί, ἵν' οὕτως εἴπω, πληρωθησομένους, ὥσπερ λέγονται αἱ προφητεῖαι πεπληρῶσθαι τῷ ἐκβεβηκέναι· καὶ οὕτως ἔστι εἰς σημεῖα τὰ ἄστρα γεγονότα, κατὰ τὴν λέγουσαν φωνὴν «ἔστωσαν εἰς σημεῖα,» κτλ. (α). Ἐφεξῆς δὲ ὁ αὐτὸς Ὠριγένης καὶ αὐτὴν τὴν σημασίαν δυσδιάκριτον καὶ δυσκατάληπτον ἀποδείκνυσι (β). Καὶ Κλήμης δὲ παρομοίως ὁ Ἀλεξανδρεὺς εἶπε τοὺς ἀστέρας, «οὐκ αἴτια γενέσεως, σημαντικὰ δὲ τῶν γινομένων τε καὶ ἐσομένων καὶ γενομένων ἐπί τε τροπῶν καὶ ἀέρων, ἐπί τε εὐφορίας καὶ ἀκαρπίας, ἐπί τε λοιμῶν καὶ φλογμῶν, ἐπί τε τῶν ἀνθρώπων. Οὔτ' ὄναρ τὰς ἐνεργείας ποιεῖ τὰ ἄστρα· σημαίνει δὲ τὰ τ' ἐόντα, τά τ' ἐσόμενα, πρό τ' ἐόντα» (γ). Ἐν δὲ ταῖς ἐκ τῶν Θεοδότου ἐκλογαῖς ὁ αὐτὸς Κλήμης ἐσημείωσεν ὡς γνώμην τῆς τῶν Οὐαλεντιανῶν ἐν πολλοῖς ληρούσης διδασκαλίας ὅτι «οἱ μάγοι (ἐκ τῆς τῶν ἀστέρων ἀποτελεσματικῆς) οὐ μόνον εἶδον τὸν ἀστέρα τοῦ κυρίου, ἀλλὰ καὶ τὸ ἀληθὲς ἔγνωσαν ὅτι ὁ βασιλεὺς ἐτέχθη, καὶ ὢν βασιλεύς, ὅτι θεοσεβῶν· τότε [γὰρ] οἱ Ἰουδαῖοι μόνον διαβόητοι ἦσαν ἐπὶ θεοσεβείᾳ» (δ). Ὁ δέ, τέλος, Ἕρμιππος (ἵνα παραλίπωμεν ἄλλους) (ε), Πλατωνικὸς φιλόσοφος χριστιανός, μόνην τὴν ἐπισημασίαν καὶ αὐτὸς τῶν ἀστέρων ἀποδεχόμενος, μνημονεύει καὶ αὐτὸς τοῦ κατὰ τὴν γέννησιν τοῦ Σωτῆρος ἐπιφανέντος ἀστέρος, ταῦτα λέγων ἐπὶ λέξεως· «Καὶ μὴν ὁ ἐπὶ τῆς τοῦ Θεοῦ λόγου γεννήσεως ἀστὴρ τοῖς μάγοις ἡγούμενος (καὶ μὴ μεμφέσθω τις τοιούτοις παραδείγμασι χρωμένοις· ἀλλ' εἴτις συνετὸς φιλοχρινείτω τοῖς λεγομένοις· βέβηλοι δὲ θύρας ἐπίθεσθε!)· ἐκεῖνος τοίνυν οὐχ' ὅτι γε ἐφάνη καὶ τοὺς μάγους συνεφειλκύσατο, τὴν γένεσιν ἀπετέλεσεν· ἀλλὰ τοὐναντίον, τελουμένην ἐσήμανεν, οἱονεί τις κῆρυξ καὶ προαγγελεὺς τοῦ τοσοῦδε καλοῦ γεγονώς» (ζ). Καὶ οὗτοι μὲν ταῦτα.

§. ιϐ. Οἱ δὲ Μάγοι, καὶ ἀςρολόγοι καὶ ἀςρολάτρεις τινὲς ὄντες καὶ ξένοι τῆς θεογνωσίας, ὅμως ὑπ' ἀστέρος πάλιν διδασκόμενοι ἠξιώθησαν

(α) Ὠριγέν. ἐξηγ. εἰς Γενέσ. α. πρϐλ. καὶ Εὐσεϐ. Εὐαγγ. προπαρ. ς. σελ. 172.

(β) Αὐτ. αὐτ. καὶ Εὐσεϐ. Εὐαγγ. προπαρ. ς. σελ. 174. — (γ) Κλήμ. ἐκ τῶν προφητ. ἐκλογ. σελ. 578. — (δ) Κλήμ. ἐκ τῶν Θεοδ. ἐκλογ. σελ. 573.

(ε) Ὅρ. Θεοδώρητ. εἰς Γενέσ. α, 14. καὶ Διόδωρ. αὐτόθ. ἐν Σειρ. εἰς Ὀκτάτ. Τόμ. α. σελ. 31, 32.

(ζ) Ἑρμιπ. διαλόγ. ϐιϐ. α, παρὰ Fabric. Biblioth. Gr. Tom. 2. p. 514.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

διὰ τοῦτο χρὴ καὶ ὕδωρ ἐπὶ τὸν βαπτιζόμενον ε π ι χ ε ῖ ν! Καὶ τοῦτο τάχα βάπτισμα εἶναι! ἀλλὰ τοῦτ' ἀντίκειται καὶ πρὸς αὐτὴν τὴν τοῦ Κυρίου ἐντολήν. Οὐ γὰρ εἶπε πρὸς τοὺς Ἀποστόλους ε π ι χ ε ῖ τ ε, ἀλλὰ β α π τ ί ζ ε τ ε, καὶ «αὐτός (φησὶ) β α π τ ί σ ε ι ἐ ν ὕ δ α τ ι κ α ὶ π ν ε ύ μ α τ ι ἁ γ ί ῳ» (Ἰωάν. γ). Ἀλλὰ καὶ τὰ περὶ τῆς τοιαύτης παρερμηνείας τοῦ ἐ κ χ έ ε ι ν καὶ τοῦ ῥ α ί ν ε ι ν, ἐν οἷς (ὡς καὶ ἐπὶ τοῦ βαπτίζειν) διαφθείρουσι τὴν σημασίαν ἀπ' ἄλλων εἰς ἄλλα μετάγοντες, ἅλις εἴρηται ἐν τοῖς προηγουμένοις (§. ς).

3) Ὅτι κἀκεῖνο λίαν ἐσφαλμένως οἱ Ῥωμάνοι προβάλλουσι λέγοντες, ὅτι ἄρα οὐ δυνάμεθα ὁριστικῶς ἀποδεῖξαι τοὺς Ἀποστόλους ὡς οὐκ ἐτέλουν τὸ βάπτισμα καὶ δι' ἐπιχύσεως, καὶ πρὸς τοῦτο παραδειγματίζουσι τὰ ἐν Πράξ. ι. καὶ ις. (βλ. ὄπισθ. §. ε). Παράδοξος ἀπόδειξις τῆς ἐπιχύσεως! Ἐπειδὴ καὶ ἔν τισι χωρίοις τῶν Ἀποστόλων οὐχ ὁρίζεται ἐκπεφασμένως καὶ διαῤῥήδην ἡ διὰ τῆς καταδύσεως τοῦ βαπτίσματος τελετή, δύνανται λοιπὸν αὐτοὶ ἐκ τῶν ἀορίστων τούτων χωρίων ὁριστικῶς ἀποδεῖξαι τὴν παρ' αὐτοῖς ὡ ρ ι σ μ έ ν ω ς καὶ βεβαίως νενομοθετημένην πρᾶξιν τῆς μηδέποτε παρὰ τοῖς Ἀποστόλοις ἐπὶ τοῦ θείου βαπτίσματος μήτε νοηθείσης, μήτε ῥηθείσης, μήτε ὅλως ἀκουσθείσης ἐπιχύσεως; Καὶ τίς ἂν εἴποι τοῦτο; Ἔπειτα πολλαχοῦ τῶν Ἀποστολικῶν χωρίων καὶ λίαν ὁριστικῶς καὶ ἐναργῶς καὶ ἐκπεφασμένως γέγραπται ἢ καὶ συμπεραίνεται προφανῶς καὶ ἀναγκαίως, ὅτι διὰ τῆς καταδύσεως ἐβάπτιζον οἱ Ἀπόστολοι τοὺς πιστοὺς εἰς τὸ ὁμοίωμα τοῦ θανάτου τοῦ Κυρίου. Ἐκ δὲ τούτου συνάγεται πάντως, ὅτι τοῦτ' αὐτὸ τὸ βάπτισμα νοεῖται καὶ ὅπου ῥητῶς οὐκ ἀναφέρεται ἡ κατάδυσις. Οὐ γὰρ ἤδεισαν οἱ Ἀπόστολοι, οὐδὲ π α ρ έ λ α β ο ν ὑ π ὸ τ ο ῦ Κ υ ρ ί ο υ, οὐδὲ παρέδωκαν τῇ Ἐκκλησίᾳ δύο καὶ τρεῖς τοῦ βαπτίσματος τύπους καὶ τρόπους ἀντικειμένους ἀλλήλοις (ὧν τοὺς πρώτους εὑρέτας καὶ καταβαπτιστὰς θεατρίζει ἡ ἱστορία), ἀλλ' ἓν καὶ μόνον βάπτισμα μονότροπον καὶ μονοειδές. Καὶ τοῦτο κηρύττει καὶ ὁμολογεῖ ἡ διηνεκὴς πρᾶξις τῆς Ἀποστολικῆς Ἐκκλησίας, καὶ πάντες αὐτῆς οἱ θεῖοι Πατέρες, καὶ αὐτοὶ ἐτέλουν οἱ Δυτικοί, μέχρις οὗ κατέλαβε τὴν Δύσιν ὁ ζόφος τοῦ παπισμοῦ καὶ τῆς σχολαστικῆς καὶ διαλεκτικῆς τῶν παπικῶν θεολόγων τερθρείας. Ἀλλὰ καὶ περὶ τούτου προείρηται.

4) Καὶ περὶ τοῦ μαρτυρικοῦ βαπτίσματος, καὶ περὶ τῶν κλινικῶν ἱκανοῦσι τὰ προῤῥηθέντα (§. ς, δ καὶ ε).

5) Ὡσαύτως καὶ περὶ τῆς ἀποστολικῆς ἐπὶ τῶν βαπτισθέντων χει-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

σῦ, Δέσποινα, λαμπρῶς κεκόσμηται. Ἐξέλθετε, Σιὼν θυγατέρες, καὶ τῆς Πεντανάσσης θεάσασθε τὴν δόξαν.

Χαῖρε ἡ πιστὴ Ῥωσσία, θεόστεπτε καὶ προσφιλὴς ἀδελφή. Χαῖρε μοι κλλίνικε, ἐμῶν κροτάφων χαίροις τὸ ἀνάπαυμα. Χαῖρε ἡ μόνη ἄμωμος ἐν θυγατράσι πολλαῖς. Χαῖρε πλάτος Πίστεως ἀπέραντον, Ἀλεξάνδρου μου χαῖρε γεννήτρια.

Αἶνος καὶ τιμὴ καὶ δόξα αἰώνιος τῷ Βασιλεῖ τοῦ παντός. Ὅτι πίσει ἔθωσε τὰ διεστῶτα καὶ τὰ μακρὰν τοῖς ἐγγύς. Καὶ ἐπὶ Ὄρους ὕψωσε τὴν Βασιλίδα Σιών, οὐρανόθεν πάλαι καταβαίνουσαν, ὥσπερ Πόλιν Θεοῦ Παντοκράτορος.

Θεοτόκιον.

Ὕμνους εὐτελεῖς, δεήσεις τε πρόσδεξαι τὰς ἡμῶν, Δέσποινα. Λῦσον συμφορῶν ἡμῖν γηΐνων νέφος, κοινῶν ἰδίων τε. Τῆς Ἐκκλησίας κοίμησον, Ἀγνή, τὸν κλύδωνα. Τῶν βαρβάρων σκόρπισον τὰς φάλαγγας. Σωτηρίας τε πάντας ἀξίωσον.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Πετρούπολις εὐφραίνου νῦν σὺν πιστῇ Νεαπόλει. Ἀγάλλου ἡ Βλαδίμηρος. Χαῖρε γῆ τῆς Ῥωσσίας συνάμα φίλῃ Ἑλλάδι, κοινῶς τιμῶσαι τὸν μέγαν Ἀλέξανδρον τὸν πάντιμον. Δεῦτε ἄρχοντες πάντες, καὶ Βασιλεῖς, Ἱερέων δῆμοι καὶ πᾶσα τάξις, Ῥῶσσοι, Γραικοὶ συγχαίρετε, γηγενεῖς μετ' Ἀγγέλων.

Θεοτόκιον Ὅμοιον.

Τὰς Πόλεις σου, Πανάχραντε, τὰς πιστῶς σε τιμώσας παντοίων ῥῦσαι, Δέσποινα, μαστίγων τε καὶ θλίψεων, λοιμοῦ, λιμοῦ τε, σεισμοῦ τε καὶ πολεμισμοῦ, καὶ στάσεως, ξίφους, πυρός, αἱρέσεων, φθορᾶς ἠθῶν, καὶ μανίας τῶν ἐθνικῶν, συντηροῦσα ἄτρωτον τὴν σὴν Ποίμνην, ἣν ὁ Χριστὸς ἠγόρασεν αἵματι τῷ ἰδίῳ.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν

Στιχηρὰ προσόμοια. Ἦχος πλ. 6.

Αἱ ἀγγελικαί.

Ὕψος οὐρανῶν ἀχανὲς οὐδεὶς μετρήσει. Ἄστρων ἀριθμὸν οὐδ' ἀνθέων ἀριθμήσει. Καὶ πῶς πληθὺν ἁγίαν τῶν φωστήρων τῆς Πίστεως γλῶσσα γηγενῶν ἐξονομάσει, ἢ κατ' ἀξίαν ἐπαινέσει; Ἐν οἷς ἔλαμψεν ὁ στεφηφόρος τοῦ Νευᾶ σκηπτοῦχος Ἀλέξανδρος.

Δεῦρο Ἰωσὴφ τῆς Ῥωσσιας ἐπιφαίνου, ἐν τοῖς Οὐρανοῖς, οὐκ Αἰγύ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τῶν λεγομένων, σμικρὰ ἀφοσιούμενοι τῇ φιλοκαλίᾳ αὐτῶν, καὶ εὐγνωμόνως ἀπεκδεχόμενοι πᾶσαν εὐσχήμονα ἐπανόρθωσιν.

Σὺ δέ, ὦ τοῦ ἐμοῦ Πατρὸς ποθεινοτάτη ψυχή, ὅπως ἐν τῷ μετὰ σώματος πολυάθλῳ σου βίῳ χαίρων κατετείνου καλλιεργῶν τὸν τοῦ Χριστοῦ ἀμπελῶνα καὶ ὀρθοτομῶν τὸν λόγον τῆς εὐσεβείας· οὕτω καὶ νῦν ἐκ τῆς παρὰ Θεοῦ δεδομένης σοι μακαρίας καὶ ἀϊδίου χώρας χαῖρε ὁρῶσα καὶ μετὰ τὴν μετάστασίν σου τὴν ἐπὶ γῆς Ἐκκλησίαν τῶν σῶν ἀπολαύουσαν λόγων καὶ τιμῶσάν σε τῷ τῶν ἐπαίνων ἀγατίμῳ ϛεφάνῳ, κἀμὲ τὸν παρά σοῦ πᾶν, εἴ τί μοί ἐϛι καλόν, ἐσχηκότα καὶ τὴν σὴν πικρῶϛ ϛέρησιν θρηνοῦντα μὴ ἀπαξιώσῃς τῆς σῆς πατρικῆς εὐλογίας, ὥστ' εἰς πέρας τὴν εἰς τὴν σὴν μνήμην πενιχρὰν ταύτην προσφορὰν ὡς ἔνεϛι καλῶς ἀγαγεῖν υἱϊκὴν εὐχὴν ἐπιτελοῦντα· σὺ γὰρ καὶ ζῶν ὑπουργοῦντά σοι φιλοστόργως με ἀπεδέχου, ϛηρίζων εὐχαῖϛ καὶ τῷ παρά σοι τοῦ καλοῦ κανόνι καὶ λόγον καὶ πρᾶξίν μου πᾶσαν πρὸϛ τὸ κρεῖττον εὐθύνων· τὴν γὰρ προαίρεσιν ἀεὶ τῆς ψήφου μέτρον εἶχες, μιμούμενος κἀν τούτῳ τὸν τὴν χήραν διὰ τὸν κοδράντην οὐχ ὅπως ἀποδοχῆς ἀλλὰ καὶ ἐπαίνων ἀξιώσαντα Θεὸν Λόγον, ᾧ δόξα καὶ αἶνος. Ἀμήν.

Ἔγραφον Ἀθήνῃσι, τῇ **30** Ἰουνίου, **1862.**

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

μα τοῦ ποιήματος. — Καλὸς ὁ τῆς ποιήσεως ὄγκος καὶ εἰς τὰς διδακτικὰς πραγματείας. Ἀλλ' εἰς ὑψηλοτέρας τινὰς καὶ μάλιστα θεολογικὰς διὰ σκαλίας γίνεται λίαν ἐπικίνδυνος καὶ ἀκροσφαλὴς ἡ στιχοπλοκία. Καὶ ἐποίησαν μὲν καὶ ἄλλοι τινὲς τῶν ἀρχαίων, καὶ ἐξαιρέτως ὁ Θεολόγος Γρηγόριος, θεολογικὰ ποιήματα. Ἐκεῖνοι ὅμως οἱ τρισμάκαρες ἐπλούτουν καὶ τὰ βάθη τοῦ πνεύματος καὶ τὰ κάλλη τοῦ φθέγματος. Ἔπειτα καὶ τὸ ἡρῷον μέτρον ἐκείνων τῶν ποιημάτων ἁρμόζει εἰς τὸ ὕψος τῆς ὑποθέσεως. Εἰς γλῶσσαν δὲ χυδαίαν νόες ἐπαρίστεροι καὶ ἀφελεῖς κακὰ στιχουργοῦσι, καὶ κάκιστα θεολογοῦσιν. Οἱ τοιοῦτοι παρομιάζουσιν εὐπτώτους καὶ ποδαγριῶντας πεζοπόρους, οἵτινες ὑποδένονται καὶ ὑψηλοὺς ἐμβάτας ἢ κρουπέζας λουτρικάς. Ἐὰν δὲ προστεθῇ εἰς τοὺς στίχους καὶ ἡ κατάρατος ὁμοιοκαταληξία, γίνεται καὶ αὐτὴ εἰς τὸν ἀδέξιον στιχοπλόκον πάσης ποδοκάκης καὶ σιδηρᾶς ἁλύσεως βαρυτέρα. Οὕτως ἐν πλείστοις ἐβλάφθη συμποδισθεὶς καὶ ὁ πρὸς πεζογραφίαν ἴσως ὀξυγράφος καὶ ποδώκης κάλαμος τοῦ θεοφιλοῦς Ἐπισκόπου, καὶ ταύτην τὴν χωλοποδίαν καὶ πλῆξιν τῆς στιχουργίας αἰσθάνεται ὁ ταλαίπωρος ἀναγνώστης, ὅλας ἀηδῶς διερχόμενος τὰς σελίδας, ἀπὸ τοῦ πρώτου στίχου μέχρι τῆς τελευταίας κορωνίδος τοῦ στιχουργήματος. Πολλάκις δὲ καὶ αὐτὸς βαρέως προσκρούει καὶ ἄκων ὑποσκάζει σκανδαλιζόμενος πρός τε τὰς λέξεις καὶ τὰς ἐννοίας καὶ εἰς ὅλην τῆς ὑποθέσεως τὴν σειράν. Ἀλλ' ἵνα μὴ λέγωμεν ἁμάρτυρα, συνάπτομεν καί τινα ὀλίγα ἐκ πολλῶν δείγματα τῶν τῆς βίβλου σφαλμάτων εἴτε περὶ τὸν χαρακτῆρα τοῦ λόγου καὶ τὴν σύνθεσιν, εἴτε περὶ τὸ πραγματικόν, καὶ μάλιστα περὶ τὴν ἱστορίαν καὶ τὴν χρονολογίαν, καὶ περὶ ἄλλας δὲ ποικίλας ἐννοίας, καὶ ἐξόχως θεολογικάς.

Α΄. Ἡ διάλεκτος ὡς ἐπὶ τὸ πλεῖστον τείνει πρὸς τὸ σαφὲς διὰ τὸ τῶν λέξεων κοινὸν καὶ πολιτικόν. Πλὴν ἐν ᾧ φαίνεται ῥέων ὁ λόγος, ἐξαίφνης τὸ ὁμοιοκατάληκτον, ὡς βύσμα ψηφίδος εἰς τὸ στόμιον τοῦ στίχου προσπεσόν, ἀνέτρεψε τὸ ῥεῦμα τῆς διανοίας, καὶ εὐθὺς ἀποπηδῆσαν ἀπὸ τοῦ δρόμου, περιχεῖται καὶ λιμνάζει, καὶ ἐξερεύγεται στίχων ὅλας συζυγίας καὶ λέξεις ἀργὰς καὶ σημειώσεις διακένους καὶ νοήματα ἀλλόκοτα. Ἀμέσως εἰς τὴν ἀρχὴν τῆς στιχουργίας ὀνομάζεται, διὰ τὴν ὁμοιοκαταληξίαν, ἡ γλῶσσα ἡ Ἑλληνικὴ «θεία καὶ ἀγγελική», καὶ ἰδοὺ ἐκπηδᾷ μακρὰ καὶ πλατεῖα ἡ σημείωσις «ὅτι ἡ Ἑλληνικὴ καλεῖται ἀγγελική, διότι εἰς αὐτὴν ἠκούσθησαν οἱ ἄγγελοι ψάλλοντες τὸν τρισάγιον ὕμνον»! Ἀλλ' οὕτω λοιπὸν καὶ ἡ Ἑβραϊκὴ εἶναι παρομοίως ἀγγελική, διότι καὶ εἰς αὐτὴν

Περὶ τοῦ, τὶς ὁ σκοπὸς τῆς Εὐαγγελικῆς Σάλπιγγος. . . . . 516—521
Ἐπισημείωσις εἰς τὸν ὑπὸ τοῦ σοφωτ. Εὐγενίου τῷ ἀψῦ ἐκφωνηθέντα λόγον κατὰ τὴν ἑορτὴν τοῦ ἀποστόλου Ἀνδρέου . . . . . 521—524
Πρόλογος εἰς τὸ τοῦ Ῥωμανοῦ χρυσόβουλλον. . 524—527
Ὕμνος . . . . . 528—532
Ἐπίκρισις τῆς ὀρδοδόξου διδασκαλίας Ἀνθίμου τοῦ Κομνηνοῦ . . . . . 533—545
Ἔλεγχος τῆς ὑπὸ Ἰ. Κὶγγ συκοφαντίας τοῦ ἱεροῦ Ἐπιφανίου . . . . . 546—549
Περὶ τῆς τελευταίας ἐν τῇ ἁγίᾳ Σοφίᾳ Συνόδου τῶν Ὀρθοδόξων (ἀνέκδοτον) . . . 549—554
Πρόλογος ἐν Ὑμνῳδῶν Ἀνεκδότοις . . . . 554—568
Πρόλογος εἰς τὸν Δεκάλογον Γρηγορίου τοῦ Παλαμᾶ . . . . . 569—573
Α΄. Ἀπολογία περὶ τοῦ τυπογραφικοῦ τῆς Κατηχήσεως σφάλματος . . . . . 573—577
Β΄. Ἀπολογία περὶ τοῦ δευτέρου κατὰ τῆς Κατηχήσεως ἐγκλήματος, τοῦ περὶ τῆς τῶν νηπίων σωτηρίας . . . . . 577—582
Ἐπιστολὴ πρὸς τὴν ἐν Κωσταντινουπόλει ἁγίαν καὶ ἱερὰν Σύνοδον (ἀνέκδοτος) . . . . . 582—587
Ἐπισημειώσεις τινὲς τοῦ ἐκδότου . . . . 587—592
Παροραμάτων διόρθωσις 593

ΤΕΛΟΣ ΤΟΥ Α΄. ΤΟΜΟΥ.

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

καὶ οἱ θεοφόροι Πατέρες ἡμῶν. Εἴδομεν ἀνωτέρω τὴν περὶ τὸ βάπτισμα τῶν Ἐγκρατιτῶν οἰκονομίαν τοῦ Μ. Βασιλείου καὶ ὧν ἐπὶ τούτῳ μνημονεύει Συνόδων (Κανόν. Α). Καὶ αὐτὴ ἡ ἐν τῇ Καρθαγένῃ Σύνοδος (ἧς τοὺς κανόνας ἡ ϛ' Οἰκουμενικὴ ἐπεκύρωσεν) οἰκονομικῶς προσεδέχθη τὸ βάπτισμα τῶν κακῶς ὑπὸ τῶν Δονατιστῶν βαπτισθέντων νηπίων καὶ τοὺς τούτων κληρικοὺς δι' ἔλλειψιν ὀρθοδόξων ἱερέων (Καν. νε, κτλ.). Καὶ αὐτὸν δέ, τέλος, τὸν ἐν Καρθαγένῃ ὑπὸ τοῦ ἱερομάρτυρος Κυπριανοῦ καὶ τῆς κατ' αὐτὸν Συνόδου ἐκδοθέντα κανόνα (περὶ τοῦ βαπτίζεσθαι ἀδιακρίτως πάντας τοὺς ἐξ οἱασδήποτε αἱρέσεως προσερχομένους) ἡ αὐτὴ ϛ' Οἰκουμενικὴ ἐπεκύρωσεν, «ὡς ἐν τοῖς τῶν προειρημένων προέδρων (τῆς Ἀφρικῆς) τόποις καὶ μόνον κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔθος κεκρατηκότα» (Καν. 6). Ἄλλας τοιαύτας κατὰ τόπους οἰκονομίας παραλείπομεν. Οἱ δὲ περὶ τὸν Πάλμερον ἐσπέριοι μηδόλως προσσχόντες τῇ τοιαύτῃ διοικήσει τῆς χριστοφόρου Μητρὸς τοῦ τῆς εὐσεβείας πληρώματος μάτην θορυβοῦσι, διότι ἐν τοῖς Ἀνατολικοῖς Πατριαρχείοις οὐκ ἀποδέχονται τὸ μὴ βαπτίζειν τοὺς Δυτικούς, ὡς εἴθισται καὶ νενόμισται ἤδη ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς θεοστηρίκτου Ῥωσσίας, καὶ ὡς σχίσματος ἀπόδειξιν τοῦτο προφέρουσιν. Ἀλλ' οὕτως δύνανται συκοφαντεῖν ὡς ἀνέκαθεν πρὸς ἑαυτὴν ἀπεσχισμένην τὴν μίαν ἁγίαν καὶ καθολικὴν τοῦ Χριστοῦ ἐκκλησίαν διὰ τὰς προειρημένας κανονικὰς κατὰ τόπους συγκαταβάσεις. Συκοφαντείτωσαν καὶ αὐτὸν τὸν μέγαν τῶν ἐθνῶν Ἀπόστολον Παῦλον καὶ πᾶσαν τὴν ἐν Ἱεροσολύμοις Ἐκκλησίαν· διότι κατὰ τὴν κοινὴν αὐτῆς ψῆφον αὐτὸς οὗτος ὁ κηρύττων τὴν κατάργησιν τῶν νομικῶν ἱεροτελεστιῶν ἐξυρήθη τὴν κεφαλὴν καὶ ἡγνίσθη πρὸς σωτηρίαν τῶν ἐν Ἱεροσολύμοις Ἰουδαίων. Καὶ ἐν ᾧ πρὸς τοὺς Γαλάτας ἔγραφεν «Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει», αὐτὸς οὗτος περιέτεμε τὸν Τιμόθεον διὰ τὰς τῶν πεπωρωμένων Ἰουδαίων ἀκαθέκτους ἐπιβουλάς. Ἀλλὰ τὴν τοιαύτην τυπικὴν πρὸς τοὺς ἀσθενεστέρους ἐπὶ τῇ τούτων ὠφελείᾳ συμπεριφοράν, οὐ διέταξαν οἱ Ἀπόστολοι καὶ πρὸς πάσας τὰς κατὰ τὴν Οἰκουμένην ἐκκλησίας τοῦ Θεοῦ. Πεπαύσθωσαν λοιπὸν οἱ βλασφημοῦντες τὴν ὀρθόδοξον Ἐκκλησίαν, διότι οὐ διατηρεῖ τὴν τοιαύτην περὶ τὸ βάπτισμα ἀκρίβειαν. Μία ἐστὶ καὶ μόνη ἡ ἁγία τοῦ Χριστοῦ νύμφη, ἡ Ἀποστολικὴ Ἐκκλησία, ἔν τε τῇ Ἀνατολῇ καὶ ἐν τῇ Ῥωσσίᾳ· καὶ ἐν ταύτῃ μὲν κέχρηται περὶ τὸ βάπτισμα τῶν ἐξ αἱρέσεων προσιόντων τῇ οἰκονομίᾳ οὐχ (ὡς ὁ Σκῶ-

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

§ ιθ. Ταῦτα καὶ περὶ τοῦ ἀστέρος ἔχεις δι' ἡμῶν παρὰ τῶν ἁγίων ἡμῶν Πατέρων, θεοφιλέστατε Διάκονε. Σὺ δὲ τὴν Χριστοῦ γέννησιν ἑορτάζων, «δράμε (καθὼς εἶπεν ἡ θεολόγος φωνὴ) μετὰ τοῦ ἀστέρος, μετὰ μάγων δωροφόρησον, μετὰ ποιμένων δόξασον, μετὰ ἀρχαγγέλων ὕμνησον, διὰ πασῶν ὅδευσον ἀμέμπτως τῶν ἠλικιῶν Χριστοῦ καὶ δυνάμεων, ζῶν ἐν Χριστῷ, ἵνα καὶ Χριστῷ συνδοξασθῇς καὶ συμβασιλεύσῃς».

Ἀθήνησι, αὠλή. Μαρτ. κέ. (α).

«Ἀστὴρ δ' ὡς ἀπέλαμπε, ἔκειτο δὲ νείατος ἄλλων,
Κάλλει παμφαίνων, ὥς τ' ἠλέκτωρ ὑπερίων.
. . . . . ἀρίζηλοι δέ οἱ αὐγαί.
Τὸν μὲν ἀρίζηλον θῆκεν θεός, ὅσπερ ἔφηνε
Παῖδ' ἑόν. . . . . ἐκδ. **Teucher**].

(α) Τὴν πραγματείαν ταύτην ἔγραψεν ὁ ἀοίδιμος, ὡς καὶ ἡ ἐπιγραφὴ μαρτυρεῖ, τῷ φιλοκάλῳ ἀρχαίῳ αὐτοῦ φίλῳ Κυρίῳ Θεοφάνει τῷ Σιατιστεῖ, ἐν Ἱεροδιακόνοις μὲν τότε διαπρέποντι, νῦν δ' εὐκλεῶς τὸν ἀρχιεπισκοπικὸν τῆς Μαντινείας καὶ Κυνουρίας θρόνον τῇ εὐσεβείᾳ καὶ τοῖς ἀκραιφνέσιν ἑλληνικοῖς φρονήμασι κυσμοῦντι, καὶ ἀξίῳ γενομένῳ διαδόχῳ τοῦ ἀειμνήστου ἐκείνου προμάχου τῶν πατρῴων δογμάτων, Διονυσίου. Σημ. Ἐκδ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

καὶ ἄλλην προσέθηκεν εἰκασίαν «ὅτι καὶ ἐκ τῶν Ἀγγέλων Γαβριὴλ οὗτος ἴσως ἦν ὁ Ἀρχάγγελος» (α)· ἀλλ' οὗτος μὲν ὁ τοῦ ὀνόματος διορισμὸς ὡς ἁπλῆ εἰκασία εἰρήσθω (β).

Ις) Ἐκ δὲ τῶν τῆς ἀρχαίας Δύσεως ἱερῶν Πατέρων οἱ ἐπισημότατοι, Αὐγουστῖνος καὶ Ἱερώνυμος, καὶ Λέων ὁ μέγας, καὶ πάντες σχεδὸν συμφώνως πρὸς τοὺς ἀνατολικοὺς τῆς Οἰκουμένης διδασκάλους «καινὸν ἐπιβεβαιοῦσι τὸν τοῖς μάγοις ἐπιφανέντα ἀστέρα καὶ τῶν ἄλλων φωστήρων ἁπάντων λαμπρότατον καὶ κάλλιστον, καὶ ῥᾷστα τὰς τῶν θεωμένων ψυχὰς καὶ τοὺς ὀφθαλμοὺς πρὸς ἑαυτὸν ἐπιστρέφοντα» (γ). Ὁ δὲ παλαιὸς Τερτυλλιανὸς καὶ τοὺς μωροὺς τῶν ἐθνικῶν ἀστρολόγους, τοὺς καὶ μαθηματικοὺς (ὡς προείπομεν) καλουμένους, ἐξελέγχει διὰ τοῦ ἀστέρος λέγων, «Περὶ τοῦ Χριστοῦ ἡ μάθησις σήμερον· Χριστοῦ τὸ ἄστρον, οὐ Κρόνου, οὐδ' Ἄρεως, οὐδ' ἄλλου τινὸς τῶν τοιούτων θνητῶν ἀστέρα τηρεῖ καὶ φοιβάζει. Ἡ γὰρ τῶν ἀστρολόγων ἐπιστήμη μέχρι τοῦ Εὐαγγελίου συγκεχώρητο. Χριστοῦ δὲ ἐπιφανέντος μηδεὶς τοῦ λοιποῦ μηδενὸς τὴν γένεσιν ἐξ οὐρανοῦ ἑρμηνευέτω» (δ).

ΙΖ) Τούτοις προστίθει καὶ τοὺς Βυζαντινοὺς ἱστοριογράφους. «Οὐδὲ γάρ, φησὶ Μ. ὁ Γλυκᾶς, ὁ τοιοῦτος ἀστὴρ εἷς ἐτύγχανε τῶν πολλῶν, οὓς ὁ Θεὸς ἐν τῷ στερεώματι κατ' ἀρχὰς ἔθετο· ἀλλὰ δύναμίς τις ἀόρατος ἦν» κτλ. (ε). «Τούτους τοὺς μάγους, λέγει ὁ προμνημονευθεὶς ἀνώνυμος, ἐπ' αὐτὸν ἄγει τὸν τόπον οὐράνιος ὁδηγῶν ἀστὴρ» (ζ).

(α) Ἰωσ. Βρυέν. Λόγ. β. εἰς τὸν Εὐαγγελ. σελ. 156.

(β) Πρόσθες τῇ παναρμονίῳ ταύτῃ χορείᾳ τῶν ἁγίων Πατέρων καὶ Γρηγόριον τὸν Παλαμᾶν «Ἀστὴρ γάρ, φησὶν ὁ θεσπέσιος, συνοδεύει μάγοις, καταλύουσι συγκαταλύων, κινουμένοις συμμεταβαίνων αὐτοῖς, μᾶλλον δὲ πρὸς τὴν ὁδὸν αὐτὸς ἐκείνους ἕλκων καὶ ἐκκαλούμενος, ἄρχων τε πορείας καὶ προάγων αὐτούς, καὶ κινουμένοις μὲν πρὸς ὁδηγίαν ἑαυτὸν ἐμπαρέχων, ἐν καιρῷ δὲ τὴν φύσιν διαναπαύουσιν εἴκων αὐτὸς ἐκείνοις, καὶ μένων καὶ αὐτὸς ἐπὶ χώρας, ὡς ἂν μὴ τούτους ἀπολιπὼν ἀνιάσῃ τῇ ἀπουσίᾳ δόξας ἀτελῆ τὴν ποδηγίαν καταλιπεῖν» κτλ. (Ὁμιλ. νη, σελ. 231). Σημ. Ἐκδ.

(γ) Leo magn. Homil. 1. de Nativ. S. Ambros. Libr. in Luc.

(δ) De Christo scilicet est mathesis hodie, stellam Christi, non Saturni et Martis et cujusqve ex eodem ordine mortuorum observat et praedicat. At enim scientia usqve ad Evangelium fuit concessa, ut Christo edito nemo exinde nativitatem alicujus de coelo interpretetur. Tertul. De idololatria c. 9. p. 89.

(ε) Χρον. γ. σελ. 389. Bon. — (ζ) Ἀνών. Histor. Sacr. ab orbe cond. ad Valentin. p. 69 [Εὐφυέστατα δὲ συνήρμοσε τὸν τοῦ ἀστέρος ἐκθειασμὸν καὶ ἡ μυστερὴς βατιλὶς Εὐδοξία ἐν τοῖς Ὁμηροκέντροις (στίχ. 282) ἄσασα,

ἐφ' ἧς βέβηκεν, ἀλήθεια. Ἡ Ὀρθόδοξος Ἐκκλησία ἀναβρύει τὸ καθαρὸν καὶ ἀκήρατον ῥεῦμα τῆς Εὐαγγελικῆς διδασκαλίας ἐκείνης, ἥτις καὶ τὸν ἔσχατον τῶν τιμίων πολιτῶν ἀναδεικνύει ἠθικώτερον παρὰ πάντας τοὺς φιλοσόφους τοῦ κόσμου· ἥτις συγκρατεῖ θεμέλια οἴκων καὶ τοὺς σωτηριώδεις τῆς κοινωνίας δεσμούς· ἥτις ἐπιστηρίζει πᾶσαν πολιτείαν εἰς βάσεις ἀκραδάντους, κανονίζουσα καὶ τὴν ἀρχὴν καὶ τὴν πειθαρχίαν, καὶ συνάπτουσα τὰ τοῦ λαοῦ καθήκοντα πρὸς τὰ καθήκοντα τῶν προεστώτων καὶ τὰ τοῦ ἡγεμόνος. Ἡ Εὐαγγελικὴ τῆς Ἐκκλησίας διδασκαλία ὑπάρχει τὸ ἄσβεστον φῶς, τὸ λάμπον πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ καὶ φωτίζον ἐπίσης καὶ τὸν πατέρα καὶ τὰ μέλη τῆς οἰκογενείας, καὶ τὸ ἔθνος ὅλον, καὶ τὸν τοῦ ἔθνους ἀρχηγόν. «Μέγα στήριγμα (ἔλεγον οἱ εὐσεβέστατοι τῶν παλαιῶν προκατόχων τῆς βασιλείας τοῦ Ὄθωνος), μέγα στήριγμα καὶ θεμέλιον τῆς ἄνωθεν πεπιστευμένης ἡμῖν χριστιανικωτάτης βασιλείας καὶ πολιτείας ἡ ὀρθὴ καὶ ἀμώμητος πίστις τῶν Χριστιανῶν καὶ κατάστασις τῆς ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας τῶν Ὀρθοδόξων, ἀτάραχος διὰ πάντων φυλαττομένη· δι' αὐτῆς γὰρ τὰ σκῆπτρα τῆς βασιλείας κρατύνονται, καὶ τὰ τῆς πολιτείας εὐοδοῦνται καὶ εὐροοῦσιν ἐν εἰρήνῃ καὶ τῇ κατὰ Χριστὸν ἐλευθερίᾳ. Ὅπου γὰρ πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. Νόμος γὰρ τέλειος τῆς ἐλευθερίας ἡ πίστις Χριστοῦ.

Τοῦτον τὸν νόμον διατηρεῖτε σταθερῶς, ὦ τῆς ἀληθοῦς ἐλευθερίας υἱοί! Οὗτος ὁ νόμος ἔσωσε τὴν Ἑλλάδα ἐκ τῆς κοσμικῆς αὐτῆς δουλείας καὶ καχεξίας, ἀφ' ἧς αὐτὴν ἰάτρευσεν ὁ τοῦ κόσμου Σωτήρ, εἰπὼν πρὸς αὐτήν, καθώς ποτε καὶ πρὸς τὴν αἱμόῤῥουν, «Θύγατερ, ἡ πίστις σου σέσωκέ σε!» Ναί, ὦ μεγάλε τοῦ Χριστοῦ κλῆρε, τὸ ποίμνιον τὸ μικρὸν καὶ πανταχοῦ τῆς οἰκουμένης ἐκλάμψαν, τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον Ἱεράτευμα, φύλαττε τὸν πάτριον τῆς πίστεως θησαυρόν, «καὶ μένε βεβαίως ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες»· Ἀνατολὴ ἐξ ὕψους σε ἐγέννησε, καὶ φωτὸς ἀδύτου λάμψις ἐμαίευσέ σε καὶ ἔθρεψε καὶ ἤνδρωσε καὶ ἐκράτυνε, καὶ πεσὸν πολιτικῶς πάλιν σε ἀνήγειρε, μέγα θαῦμα δι' ὅλων τῶν αἰώνων καὶ τῶν τῆς οἰκουμένης ἐθνῶν καὶ ὂν καὶ ἐσόμενον. Ἄκουε τὴν φωνὴν τοῦ Ὑψίστου Πατρός σου καὶ Βασιλέως, ὅστις σὲ καλεῖ ἐκ τῆς ἀεννάου πηγῆς τοῦ φωτός. «Ἄκουε Ἰσραήλ! ἐξ Ἀνατολῶν ἡλίου ἐγέννησά σε, καὶ ἐν φωτὶ ἁγίῳ ἐφώτισά σε. Σὺ δὲ τὰς ἐντολάς μου φυλάξεις καὶ κολληθήσῃ τοῖς δικαιώμασί μου. Μετὰ ἀσεβῶν οὐ μιανθήσῃ, καὶ πῦρ ἁλ-

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

τῆς ἐξασκήσεως εἰς τοῦ θείου νόμου τὰς ἐντολάς· β΄.) ὕ ψ ω σ ι ς τ ῆ ς κ α ρ δ ί α ς π ρ ὸ ς τ ὸ ν Θ ε ὸ ν καὶ πλησίασις εἰς τὸν θρόνον τῆς χάριτός του διὰ θερμῆς προσευχῆς· γ΄.) ζ ῆ λ ο ς ὑπὲρ τῆς δόξης τοῦ θείου αὐτοῦ ὀνόματος· δ΄.) ε ὐ χ ά ρ ι σ τ ο ς ε ὐ γ ν ω μ ο σ ύ ν η δι' ὅλας τὰς παρ' αὐτοῦ χάριτας, καὶ ἡ μετὰ παῤῥησίας κήρυξις καὶ ἐξομολόγησις τῆς ἀληθοῦς πρὸς αὐτὸν λατρείας· έ.) ἀ φ ι έ ρ ω σ ι ς π ά σ η ς ἐ λ π ί δ ο ς εἰς τὴν πατρικὴν αὐτοῦ πρόνοιαν, καὶ παντελὴς ὑποταγὴ μετὰ χαρᾶς εἰς τὰ ὑψιστα προστάγματά του· ς΄.) ἀγάπη πρὸς τὸν πλησίον ἴση πρὸς ὅσην ἐπιθυμοῦμεν νὰ ἀγαπώμεθα καὶ ἡμεῖς αὐτοὶ ὑπὸ τοῦ Θεοῦ· διότι, «Ἐάν τις εἴπῃ, Ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστί» (Α. Ἰωάν. δ, 20).

Ἐναντίαι εἰς ταύτας τὰς ἀρετὰς εἶναι αἱ ἑπόμεναι κακίαι· ά.) ἡ πρὸς Θεὸν ἔχθρα, ἥτις ὑφίσταται εἰς τὴν παράβασιν τῶν ἐντολῶν αὐτοῦ· β΄.) ἡ πνευματικὴ ὀκνηρία, ἢ ἀκηδία, ἥτις εἶναι τὸ ν' ἀμελῇ τις τὰ καθήκοντα τῆς εὐσεβείας, οἷον τὴν μνήμην τοῦ Θεοῦ, τὴν προσευχήν, τὴν φοίτησιν εἰς τοὺς θείους ναούς, κτλ. γ΄.) ἡ πρὸς Θεὸν ἀχαριστία καὶ γογγυσμός· δ΄.) ἡ ἄμετρος πεποίθησις εἰς τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ· έ.) ἡ παντελὴς ἀπόγνωσις. Τὰ δύω ταῦτα καὶ ἁμαρτίαι κατὰ τοῦ ἁγίου πνεύματος λέγονται.

Σημ. Δ΄. Τὸ δεύτερον οὐσιῶδες μέρος τῆς θείας λατρείας εἶναι ὁ φόβος τοῦ Θεοῦ, οὐχὶ δουλικός, ἀλλ' υἱϊκὸς, ὅστις ὑφίσταται εἰς τὸ νὰ συλλογίζηται καθ' ἑκάστην ὁ ἄνθρωπος τὴν παντοδυναμίαν καὶ δικαιοσύνην τοῦ Θεοῦ, καὶ νὰ φυλάττηται ἀπὸ τοῦ νὰ πράττῃ πᾶν ὅ,τι ἀποβλέπει εἰς ὕβριν καὶ καταφρόνησίν του· ἐὰν δὲ πράξῃ τι τοιοῦτον, νὰ λυπῆται· διότι παρώργισε τὸν εὐεργετικὸν αὐτοῦ Θεὸν καὶ πατέρα. Τοῦ θείου φόβου χαρακτηριστικὰ σημεῖα εἶναι· ά.) ἡ π ν ε υ μ α τ ι κ ὴ π τ ω χ ε ί α, ἥτις ὑφίσταται εἰς τὸ νὰ ταπεινόνῃ τις τὸ φρόνημά του ἐνώπιον τοῦ Θεοῦ, καὶ νὰ γνωρίζῃ ὅτι εἶναι πταίστης ἔμπροσθεν τοῦ δικαίου του κριτηρίου. Ἐναντία τῆς πνευματικῆς πτωχείας εἶναι ἡ Φαρισαϊκὴ ὑπερηφανία, διὰ τὴν ὁποίαν θαῤῥεῖ τις εἰς τὰς ἀρετάς του, καὶ ὑψόνεται ὑπὲρ τοὺς λοιποὺς τῶν ἀνθρώπων· β΄.) ἡ M ε τ ά ν ο ι α, ἤγουν ἡ μετ' ἐλπίδος εἰς τὴν θείαν εὐσπλαγχνίαν ὁμολογία τῶν ἰδίων ἁμαρτημάτων, ἥτις, ὅταν γίνηται διὰ στόματος, λέγεται ἐξομολόγησις. Ἐναντία εἰς ταύτην εἶναι ἡ ἀμετανοησία, ἤγουν ὁ βαθὺς ὕπνος εἰς τὴν ἁμαρτίαν· γ΄.) ἡ ν η σ τ ε ί α, ἤγουν ἡ δι' ἀποχῆς βρωμάτων χαλίνωσις τῶν παθῶν, ὅταν ἐξαγριόνωνται ἀπὸ τὴν ὑπέρμετρον τροφὴν καὶ τρυ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών Academy of Athens

Προφητῶν καὶ τον μετὰ τὸ πάθος τοῦ Σωτῆρος ἀποκτανθέντα Ζαχρίαν τοῦ Βαρούχ, ἄνθρωπον σκληροτράχηλον καὶ πεπωρωμένον καὶ μέχρι τέλους ἄπιστον πρὸς τὸ κήρυγμα τοῦ Εὐαγγελίου διαβιώσαντα; Μὴ γὰρ δὲν ὑπῆρχε καὶ αὐτὸς εἷς τῶν πρὸ τεσσαράκοντα περίπου χρόνων ὑπὸ τοῦ Σωτῆρος ἐξελεγχθέντων υἱῶν τῶν Προφητόκτονων; Καὶ ἂν αὐτὸς αὐτοπροσώπως (ὡς ἔτι νέος) ἔλειπεν ἀπὸ τοῦ κατὰ τοῦ Σωτῆρος μιαιφόνου Συνεδρίου τῶν σταυρωτῶν, ἆρά γε δὲν παρουσίαζεν ἐκεῖ ὁ πατὴρ αὐτοῦ; ἢ τοὐλάχιστον, δὲν ἀνέκραξε κἀκεῖνος μετὰ τοῦ χριστοκτονοῦντος ὄχλου τὴν φοβερὰν καὶ βαρεῖαν ἐκείνην ἀράν, «τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν»; Τούτου λοιπὸν τοῦ γνησίου τῶν χριστοκτόνων υἱοῦ Ζαχαρίου τοῦ Βαρούχου τὸ αἷμα πῶς συνάπτουσιν οἱ ἄνδρες μετὰ τοῦ εὐαγεστάτου αἵματος τῶν δικαίων καὶ προφητῶν; ἢ διὰ τί δὲν λέγουσι μᾶλλον, ὅτι καὶ εἰς τοῦτον ἐπῆλθε τῶν δικαίων τὸ αἷμα, πεσόντα δικαίως πρόθυμα καὶ προοίμιον τοῦ μετ' ὀλίγον ἐξαστράψαντος παγγενοῦς ὀλέθρου τῶν υἱῶν τῆς Προφητοκτόνου πόλεως; (α) Τελευταῖον (ἵνα μὴ μακρύνωμεν τὸν λόγον), αὐτὸ τὸ θεόπνευστον κείμενον τοῦ Εὐαγγελίου ἀναιρεῖ τὸν ὀνειροποληθέντα τοῦτον ἀντιχρονισμόν· διότι καθὼς ὁ θεῖος Ματθαῖος ἔγραψε παρωχημένως «ὃν ἐφονεύσατε», παρομοίως καὶ ὁ θεῖος Λουκᾶς κατ' ἀόριστον ἀπέδωκε τὴν φράσιν, λέγων «ἕως τοῦ αἵματος Ζαχαρίου τοῦ ἀπολομένου (τοῦτ. φονευθέντος) μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου» (β). Ἢ μήπως ἐξεπί-

---

(α) Ματθ. κγ'. 37.

(β) Οἶκον εἶπεν ὁ θεῖος Λουκᾶς τὸν Ναόν, ὡς καὶ, «Σολομὼν ᾠκοδόμησεν αὐτῷ οἶκον» (Πραξ. ζ, 47, 49. Πρβλ. Λουκ. ιθ, 46. Ματθ. κά. 13. Μάρκ. 6, 26. Ἰωάν. 6. 16, 17. Οὕτω καὶ Ἐξόδ. κγ. 19, οἶκος Θεοῦ, ἡ σκηνὴ τοῦ μαρτυρίου). Σημαίνει δὲ καὶ τὸ Ναὸς καὶ τὸ οἶκος οὐ μόνον ὅλον τὸ οἰκοδόμημα, ἀλλὰ καὶ τὰ διάφορα αὐτοῦ μέρη· οἷον ἐπὶ τοῦ παρόντος, «μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου» (ἢ τοῦ Ναοῦ) δηλοῦται τὸ ὕπαιθρον τοῦ Ναοῦ μέρος, ὅπου ἵστατο ὁ λαός, τὸ ὁποῖον ἐν μὲν Β. Παραλειπ. κδ, 21. λέγεται αὐλή· ὁ δὲ Ἰώσηπος ὕπαιθρον ἐκάλεσεν (Ἰουδ. πολ. δ, 6). Οὕτω καὶ οἱ Ἕλληνες οἶκον λέγουσι καὶ «μέρος τοῦ οἴκου» (Ἡσυχ.)· ὡς, Ὀδ. Α. 356. «εἰς οἶκον ἰοῦσα» (εἰς τὸν θάλαμον). Καὶ τὸν Ναὸν δὲ λέγουσιν οἱ Ἕλληνες οἶκον καὶ δόμον καὶ δῶμα Θεοῦ (Πινδ. Πυθ. δ, 95. Νεμ. ί, 3.), ὅθεν καὶ ἡ χαλκίοικος Ἀθηνᾶ. Οὕτω καὶ ἡ Ἰταλικὴ γλῶσσα λέγει duomo (Λατ. domus δόμος) καὶ τὴν κατὰ διαφόρους πόλεις ἐπισημοτάτην καὶ πρωτεύουσαν Ἐκκλησίαν, οἷος ὁ δόμος (duomo) ἐν Φλωρεντίᾳ καὶ Μεδιολάνοις καὶ ἀλλαχοῦ. Παρομοίως καὶ ὁ ἱστορικὸς Εὐσέβιος εἶπεν·

αὐτοῦ, περὶ ὧν προείπομεν). Τούτῳ προστεθήτω ἐκ τοῦ σύνεγγυς (κατ' ἀναχρονισμόν) καὶ Δοσίθεος ὁ ἀοίδιμος Πατριάρχης τῶν Ἱεροσολύμων, ὃς ἔγραφε (τῷ 1680), «ὅτι οἱ μὴ βαπτιζόμενοι εἰς τρεῖς ἀναδύσεις καὶ καταδύσεις (χωρὶς ἀναγκαίας αἰτίας) κινδυνεύουσιν εἶναι ἀβάπτιστοι. Ὅθεν καὶ οἱ Λατῖνοι, οἱ τὸ βάπτισμα ποιοῦντες ῥαντισμῷ, θανασίμως ἁμαρτάνουσι» (Δωδεκαβίβλ. ς. σελ. 525). Ταὐτὰ δὲ φαίνεται βεβαιῶν καὶ Νικόλαος ὁ Κεραμεύς, ὁ ἐξ Ἰωαννίνων Ἰατρὸς καὶ Φιλόσοφος (τῷ 1660) ἐν οἷς φησιν «Ἡ περὶ Κυπριανὸν Σύνοδος σὺν τῷ Οὐρανοφάντορι Βασιλείῳ αὐστηρότερον πρὸς τοὺς προσιόντας αἱρετικοὺς φωτισθῆσεσθαι ἢ μή, διέθεντο. Ὧν μεριχῶν τὰ ἄκρα συγκεράσασα καὶ ἑνώσασα ἡ περὶ τῶν τούτοις ἀμφισβητουμένων δευτέρα Οἰκουμενικὴ Σύνοδος ἐμετριοφρονήσατο τὰ δέοντα καὶ τὰ τῷ καθόλου λόγῳ ἀνήκοντα, τὰ περὶ τοῦ ποίους δεῖ τῶν προσερχομένων αἱρετικῶν τῷ ὀρθοδόξῳ σεβάσματι ἀναβαπτίζειν καὶ ποίους μή» (Ἀντεγκλήμ. Παρὰ Δοσιθέῳ Τόμ. Χαρᾶς σελ. 491. πρβλ- καὶ Δωδεκαβίβλ. ΙΑ. σελ. 1176).

ΙΖ) Ἀλλὰ καὶ ἐν τῇ Ὀρθοδόξῳ Ῥωσσίᾳ πατριαρχεύοντος τοῦ ἀοιδίμου Φιλαρέτου (τῷ 1621) Συνοδικῶς ἐψηφίσθη βαπτίζειν τοὺς ἐκ τῶν Λατίνων προσερχομένους τῇ Ἐκκλησίᾳ. Καὶ τοῦτο τὸ ἔθος ἐκράτει μέχρι καὶ ὑπερμεσάσαντος τοῦ ιζ αἰῶνος, καὶ αὐτοῦ δὲ τοῦ ιη ἀρχομένου (α).

ΙΗ) Εἴδομεν δὲ καὶ ὅτι ὁ Κωνσταντινουπόλεως Ἱερεμίας ὁ Γ, ἐν τῷ πρὸς τὸν μέγαν Πέτρον γράμματι (τῷ 1718), μόνους τοὺς Λουθηρανοὺς καὶ Καλβίνους μύρῳ χρίειν (ὡς καθ' ἑαυτοὺς βαπτιζομένους) διατυπώσας ἐξέκλεισε τοὺς ῥαντιζομένους Λατίνους (β). Ἐπὶ τούτου τοῦ Πατριάρχου συνεκροτήθη Σύνοδος (τῷ 1722) ἐν Κωνσταντινουπόλει, συνεδρευόντων καὶ τοῦ Ἀντιοχείας Πατριάρχου Ἀθανασίου καὶ τοῦ Ἱεροσολύμων Χρυσάνθου, ἐν ᾗ καὶ αὖθις ἐξεκηρύχθησαν ὑπὸ τῆς ὀρθοδόξου Ἐκκλησίας πᾶσαι αἱ κακοδοξίαι τῆς Δυτικῆς, ἃς ἁπανταχοῦ τῆς Αἰγύπτου καὶ μάλιστα τῆς Συρίας καὶ Παλαιστίνης καὶ ἔν τισι νήσοις τοῦ Αἰγαίου πελάγους καὶ κατὰ τὴν Ἤπειρον περιιόντες οἱ μόρφωσιν

(α) Ὅθεν καὶ Ὀλεάριος (σοφὸς ἀνὴρ ἐκ τῶν Διαμαρτυρητῶν, ὃς καὶ ἐν Ῥωσσίᾳ διέτριβε τῷ 1633) «Οἱ Ῥῶσσοί (φησι) ὀνομάζουσι τοὺς Δυτικοὺς ἐῤῥαντισμένους χριστιανούς. Καὶ διὰ τοῦτο τοὺς ἐκ τῶν ἔξωθεν χριστιανῶν προσερχομένους τῇ κατ' αὐτοὺς ἐκκλησίᾳ πάλιν βαπτίζουσι» (**Olear Persische Reisebeschreibung etc. p. 172**).

(β) Βλ. τὴν ἐπιστολὴν ῥωσσιστὶ μεθηρμηνευμένην ἐν τῇ πλήρει Συλλογῇ τῶν νόμων τῆς Ῥωσσικῆς Αὐτοκρατορίας. Τόμ. ε. ἄρθ. **3225**.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἀλλ' Ἕλληνας χριστιανούς, ἄνδρας Σωκρατικοὺς καὶ Πλατωνικούς καὶ τόσον ὑψηλοτέρους εἰς τῶν παλαιῶν τὴν θεωρητικὴν καὶ πρακτικὴν φιλοσοφίαν, ὅσον παρ' ἐκείνους καθαρωτέρας ἔχουσιν ἐκ τῆς εὐσεβείας τὰς ἀρχὰς τοῦ φιλοσοφεῖν. Σπούδαζε νὰ διδάξῃς αὐτοὺς τὰ ἀληθῆ ὅρια τῆς περὶ τὸ φιλοσοφεῖν ἐλευθερίας, ἅτινα ὅταν τις ὑπερπηδήσῃ, ἀνοηταίνει καὶ παραφέρεται ὡς ὁ ὑπερβαίνων τῆς πολιτικῆς ἐλευθερίας τὰ ὅρια. Δίδαξον αὐτοὺς ἀκριβῶς, ὅτι ὅπου παύει ἡ ἀνθρωπίνη γνῶσις, ἐκεῖ ἄρχεται ἡ θεία καὶ ὑπερφυής, αὕτη δηλονότι ἡ ὑψηλὴ τῆς πίστεως φιλοσοφία, ἥτις συνάπτει τὸν ἄνθρωπον μετὰ τοῦ Θεοῦ, καὶ ἧς ἄνευ πᾶσα ἀνθρωπίνη σοφία εἶναι τοῦτ' αὐτὸ ἀνθρωπίνη, τοῦτ' ἔστι πλανωμένη πολλάκις καὶ ἀσθενὴς καὶ ἐπισφαλής. Ὁδήγει αὐτοὺς εἰς τὴν ὁδὸν τῶν ἐπιστημῶν, καὶ ὅταν φθάνῃς εἰς τὰ ὅρια τῆς ἀνθρωπίνης καταλήψεως, κλίνε τὸν αὐχένα καὶ προσκύνει μετὰ τῶν μαθητῶν σου ἔμπροσθεν εἰς τὰ ἐκεῖ ἀνοιγόμενα προπύλαια τοῦ ἀδύτου τῆς οὐρανίου σοφίας, ἣν διὰ μόνης πάλιν τῆς πίστεως δύνασαι νὰ θεωρήσῃς.

4) Πρὸς τὸ αὐτὸ τέλος τῆς ἀρετῆς πρέπει νὰ κατευθύνῃ τὰς διδασκαλίας καὶ ὁ διδάσκαλος τῆς Ἑλληνικῆς φιλολογίας. Ἡ Ἑλληνικὴ γλῶσσα εἶναι ἡ ἀμίμητος καὶ τελειοτάτη γλῶσσα τῆς φύσεως, τῆς σοφίας, τῆς ἀρετῆς, καὶ ἡ μεθοδικὴ αὐτῆς διδασκαλία εἶναι ἱκανὴ νὰ συνεργήσῃ θαυμαστῶς πρὸς χρηστοήθειαν. Ὅθεν ὁ διδάσκαλος θέλει φροντίζειν ἀδιακόπως, ὅπως διδάσκῃ τὸν μαθητὴν διὰ τῶν ἑλληνικῶν συγγραμμάτων οὐ μόνον τὴν τέχνην τοῦ λέγειν καὶ γράφειν ἑλληνιστί, ἀλλὰ καὶ τὸν ἐν αὐτοῖς περιεχόμενον ὑψηλὸν καὶ μορφωτικὸν τοῦ ἤθους νοῦν. Καὶ ἐξ αὐτῆς τῆς ἐρεύνης τῶν λέξεων (ἥτις συμβάλλει μάλιστα πρὸς κατανόησιν τῶν πραγμάτων) δύναται νὰ ὠφεληθῇ πρὸς τοῦτον τὸν σκοπόν. Ἐπειδὴ πᾶσα λέξις τῆς Ἑλληνικῆς εἶναι ζωγραφικὴ καὶ τοῦ πράγματος ἐκφραστικωτάτη. Ἐτυμολογεῖς διδάσκαλε τὴν λέξιν, φερ' εἰπεῖν, ἐλεύθερος; δίδαξον τοὺς μαθητάς σου, ὅτι ὁ ἐλεύθερος (παρὰ τὸ ἐλεύθω, τὸ ἔρχομαι) κυρίως σημαίνει ἄνθρωπον, ὅςις κινεῖται ὅπως θέλει καὶ ἔρχεται καὶ ὑπάγει ὅπου θέλει. Καθὼς δ' ἐξ ἐναντίας ὁ δοῦλος καὶ δέσμιος εἶναι δεδεμένος καὶ ἀκίνητος, τὴν αὐτὴν ἀπαρεμπόδιστον κίνησιν εἰς τὰς πράξεις ἔχει καὶ ὁ πολιτικῶς ἐλεύθερος. Ἀλλὰ καθὼς ὁ

σί, δύνανται εἰς Ἄλλην ἀπελθεῖν, κἀκεῖ τὰ δέοντα μαθεῖν. Οἱ γὰρ τῆς Ἄλλης ἱερεῖς κηρύσσουσι καλῶς τε καὶ ἁπλῶς καὶ πρὸς τὸν λαὸν ἀρκούντως» κτλ. (βλ. **Allgemeine Zeitung. N. 72. p. 573** τοῦ ἔτ. **1842.** Σημ. Ἐκδ.]

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

οὐδὲ μνημονεύετκι παντάπασιν (ἀπαντῶμεν), οὐδ' οἶδεν ὅλως, οὐδὲ δι-
δάσκει ἡ Ὁμολογία βαπτίσματος εἶδος ἕτερον, εἰμὴ μόνον τὸ ἓν καὶ
μόνον μὴ δευτερούμενον, τὸ ἐν τρισὶ καταδύσεσι καὶ ἰσα-
ρίθμοις ταῖς ἐπικλήσεσι παρεχόμενον τοῖς μετ' ὀρθοδόξου πίστεως προσ-
ιοῦσιν (Ἐρωτ. 102) (α). Τοῦτο διδάσκουσι καὶ πᾶσαι τῶν ὀρθοδόξων αἱ
ἱεραὶ Κατηχήσεις, οἵα καὶ ἡ χριστιανικὴ κατ' ἔκτασιν κα-
τήχησις τῆς ὀρθοδόξου καθολικῆς καὶ ἀποστο-
λικῆς Ἐκκλησίας οὐ πρὸ πολλοῦ τοῦ χρόνου Ῥωσσιστὶ φιλο-
πονηθεῖσα καὶ Γραικιστὶ μεταφρασθεῖσα καὶ ἐκδοθεῖσα (τῷ 1811 ἐν
Ὀδησσῷ). Λέγει δὲ καὶ αὕτη ἐπὶ λέξεως· «Ἐρώτ. Τί τὸ κυριώ-
τερον εἰς τὴν ἱεροπραξίαν τοῦ βαπτίσματος; Ἀπόκρ. Αἱ τρεῖς κα-
ταδύσεις εἰς τὸ ὕδωρ, εἰς τὸ ὄνομα τοῦ Πατρὸς κτλ.» (σελ. 76, 77).
Ἀλλὰ καὶ ἐν τῷ μεγάλῳ Εὐχολογίῳ (ὃ καὶ τοῦτο προστίθησιν ἡ Δια-
τριβή) ὀρθῶς ὁ ἀοίδιμος Πέτρος ὁ Μογίλας διέλαβεν, ὅτι ἐπὶ τῶν
εἰς θάνατον κινδυνευόντων δυνάμεθα καὶ δι' ἐπιχύσεως τὸ
βάπτισμα τελεῖν. Τοῦτο δ' οὐδὲν ἕτερον ἐμφαίνει, ἢ τὸ ἐξ ἀνάγκης, ὡς
τὸ ἐπιθανάτιον τῶν ἀρχαίων κλινικῶν, περὶ οὗ προείρηται (§. ς, ε.).

§. ιδ. 6) Προβάλλεται ἡ Διατριβὴ τὴν ὑπὸ τῶν ἁγιωτάτων Ἀνατο-
λικῶν Πατριαρχῶν πρὸς τοὺς τῆς Μεγάλης Βρεταvίας
Ἀρχιεπισκόπους τε καὶ ἐπισκόπους καὶ πάντα

(α) Ἡ ὀρθόδοξος αὕτη Ὁμολογία συνετάχθη ὑπό τε τοῦ σοφωτάτου καὶ ἀριζήλου τῶν ὀρθῶν δογμάτων προασπιστοῦ Πέτρου τοῦ Μογίλα καὶ τοῦ ἀρχιμανδρίτου Ἡσαΐα τοῦ Τροφιμίδου, διορθωθεῖσα δὲ καὶ μεθερμηνευθεῖσα Γραικιστὶ ὑπὸ τῆς ἐν Κιέβῳ συνελθούσης Ῥωσσικῆς Συνόδου πρὸς ἀπόκρουσιν τῶν Ἰησουϊτικῶν κακουργιῶν ἀπεστάλη πρὸς τὸν Οἰκουμ. Πατριάρχην Παρθένιον. Οὗτος δὲ ταύτην Μελετίῳ τῷ Συρίγῳ, τῷ σοφῷ Ἱεροκήρυκι καὶ ἐξάρχῳ, παρέδωκεν ἀπερχομένῳ εἰς τὴν ἐν Ἰασίῳ τῷ 1643 συγκροτουμένην Σύνοδον, ὅπως ἀνακρίνῃ τὸ ἐπ' ὀνόματι τοῦ Πατριάρχου Κυρίλλου τοῦ Λουκάρεως περιφερόμενον πλῆρες Καλβινικῆς δυσσεβείας βιβλίον. Ἐπιδιορθωθεῖσα δὲ ἐκεῖ καὶ «ἀνακαθαρθεῖσα, ὡς φησιν ὁ μακαριώτατος Νεκτάριος (Προλόγ. σελ. 3), ἀλλοτρίας γνώμης ἁπάσης» ἡ Ὁμολογία καὶ ἀποσταλεῖσα πρὸς τοὺς Δ. Πατριάρχας πρὸς ἐπικύρωσιν, ἐπεστράφη ἐγκριθεῖσα εἰς Κίεβον μετὰ τὴν τελείωσιν τοῦ ἀοιδίμου Μογίλα (βλ. Ἱστορίαν τῆς Ῥωσσικῆς Ἐκκλησίας κτλ. σελ. 208). Περὶ πλείστου δ' αὐτὴν ἐποιήσατο ἡ Ὀρθόδοξος Ἐκκλησία καὶ μάλιστα ἡ τῶν εὐσεβεστάτων Ῥώσσων, ὥστε καὶ θεόπνευστον αὐτὴν ἀπεκάλεσεν ὁ μακαριώτατος Πατριάρχης Μοσχοβίας Ἀδριανός, οὐ πάνυ τι ἀκριβῶς τῇ λέξει χρησάμενος, ὡς καὶ ὁ σοφώτατος Βινίσσης Μακάριος ἐσημείωσε (Introduct. à la Teolog. Orthod. p. 605). Σημ. Ἐκδ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Ἀλλὰ πολὺ περισσότερον εἶναι τὸ ἱερὸν τοῦτο καθῆκον ἰδικόν σας, πνευματικοὶ πατέρες τῶν Χριστιανῶν, Ἱερεῖς τοῦ Ὑψίστου σεβασμιώτατοι ! Σεῖς εἶσθε τοῦ θείου νόμου οἱ φύλακες, καὶ τῆς Πίστεως οἱ διδάσκαλοι, καὶ τῆς τῶν ψυχῶν σωτηρίας οἱ οἰκονόμοι. Χρέος λοιπὸν ἔστε ν' ἀγωνίζησθε, ὅσον δύνασθε, πρὸς οἰκοδομὴν τῶν πιστῶν, προσβάζοντες αὐτοὺς εἰς τὴν ὁδὸν τοῦ Κυρίου ὄχι μόνον διὰ τῶν ἐναρέτων σας πράξεων, ἀλλὰ καὶ διὰ τῶν κατηχητικῶν σας λόγων, καὶ παιτοῦντες ἕκαστος παρ' ἑνὸς ἑκάστου τῶν πνευματικῶν σας τέκνων ἀκριβῆ γνῶσιν τῆς ὀρθοδόξου ἡμῶν Πίστεως. Πολλὰ ὀλίγα εἶναι τὰ παιδία, ὅσα δύνανται νὰ παιδεύωνται καὶ κατηχῶνται εἰς τὸ Σχολεῖον, συγκρινόμενα πρὸς τἄλλα, τὰ ὁποῖα μένουσιν ἀκατήχητα καὶ ἀπαίδευτα ἢ διὰ πενίαν, ἢ διὰ κακὴν ἀνατροφὴν καὶ βαρβαρότητα τῶν γονέων των, ἢ δι' ὀρφανίαν, ἢ δι' ἄλλο τι, τὰ ὁποῖα εὐκόλως ἐμπορεῖτε, νὰ γνωρίσητε καὶ βοηθήσητε, ὅσον δύνασθε, Σεῖς μάλιστα οἱ πνευματικοὶ Πατέρες, ὅταν προσέρχωνται κατὰ χρέος Χριστιανικὸν πρὸς ἐξαγόρευσιν τῶν ἁμαρτιῶν των. Ἦτό ποτε καιρὸς, ὁπότε τῆς Κατηχήσεως ἡ διδασκαλία ἐγίνετο παῤῥησίᾳ ἐπ' ἐκκλησίας εἰς τοὺς χρυσοῦς αὐτῆς αἰῶνας· ἀλλ' εἰς τὴν χαλκίνην τοῦ καθ' ἡμᾶς αἰῶνος περίοδον βλέπετε, φίλοι πατέρες, ὅτι τὸ σωτηριωδέστατον τοῦτο μάθημα εἶναι παντάπασι, φεῦ! ἠμελημένον, καὶ (τίς νὰ τὸ πιστεύσῃ;)ἄγνωστον πολλάκις ὄχι μόνον εἰς τὸ πλειότερον μέρος τοῦ ὄχλου, ἀλλὰ καὶ εἴς τινας ἀπὸ τοὺς ἱερεῖς αὐτούς, οἵτινες διωρίσθησαν νὰ ἦναι τῶν θείων νόμων οἱ ἱερώτατοι ἄγγελοι (α).

Ἐντεῦθεν ἐπλημμύρησαν εἰς τὸν Χριστιανὸν λαὸν τῆς τοσαύτης διαφθορᾶς τῶν ἠθῶν τὰ θολερώτατα νάματα· ἐντεῦθεν αἱ ἀλλόκοτοι προλήψεις καὶ δεισιδαιμονίαι· ἐντεῦθεν ἡ ἐπιπόλαιος καὶ κλονουμένη πίστις καὶ ἀνευλάβεια πρὸς τὰ θεῖα· ἐντεῦθεν ἡ τολμηρὰ καταφρόνησις τοῦ νόμου τοῦ Θεοῦ, καὶ τἄλλα μυρία εἴδη τῶν κακιῶν, τὰ ὁποῖα εἶναι ἀχώριστα ἐπακολουθήματα τῆς ἀγνοίας τῶν δογμάτων καὶ ἐντολῶν τῆς ἀμωμήτου ἡμῶν Πίστεως.

Διὰ ταῦτα, ὦ σεβασμιώτατοι ἄνδρες, ἀνάστητε ζηλώσαντες ἐνθεώτατον ζῆλον, καὶ ἀναλάβετε γενναιότερον τῶν πνευματικῶν σας τέκνων

(α) Χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστι. Μαλαχ. β', 7.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

—στ. 33. ἀ ν τ ὶ— στ. 40 Alexandr. V.— Σ. 357. στ. 14. Φίλων.—στ. 23. πρόῤῥησιν—στ. 33. μετὰ τὴν π ε ρ ὶ (πρόσθες) δ ι α φ ο ρ ᾶ ς· μετὰ δὲ τὸ ὀρθοδόξ. τάδε «ἐν Coteler. Eccles. Graec. Monum. T. 3. p. 392. — Σ. 358. στ. 8-(6) —Σ. 361. στ. 5. π λ ά ν η ς—στ. 22. mademoiselle—35. μετὰ τὸ 13. πρόσθες A. Ἰ ω ά ν. δ, 6.—Σ. 363. στ. 10. ἀντὶ μ ι κ ρ ᾶ ς γρ. μιᾶς. καὶ ἀντὶ τ ο ῦ ἴσ. γρ. «τ ο υ» ἀορίστως—375.στ. 3 6. γ ρ α φ ά ς—Σ. 377. στ. 20 ἐ ν ν ε ά δ. Σ. 400. στ. 20 Ἱεραρχ.—στ. 25. κακομυθ.—Σ. 407, στ. 26. κἀν. — στ. 27. Ἰεζεκιήλ.—Σ.412 στ. 3. κἀν—Σ. 414. στ. 9 Ἱεροσολ.— Σ. 417. στ. 1. τ ο λ-μήσαι—Σ. 418. στ. 34. confirmationis — Σ. 426. στ. 16. Ἀ π ό σ τ ο λ ο ι, κ α ὶ—στ. 17. Ἀθανά— Σ. 427. στ. 29. π ά ν τ ῃ—Σ. 431 στ. 12 καὶ 13. ἐ σ τ ε φ α ν ω μ έ ν ο ι—στ. 21 ἀπηνήναντο—Σ. 444. στ. 21 λ ο υ τ ρ ῷ—στ. 27. πρὸ τοῦ ὅ τ ι πρόσθες κ α ὶ —Σ. 448. στ. 14 ἑ ν ι α ῖ ο ν—στ. 35. Sarisburiens. —Σ. 451 στ. 35. monachos—Σ. 460. στ. 19. τ ο ῦ —στ. 22. Νικόλαος. —στ. 23. ταῖς εἰς— Σ. 462. στ. 32. baptizatum—στ. 36. Ecclesiae Σ. 464 στ. 19. Μυτιληναῖος. —στ. 22. ἀντὶ π α ρ ὰ γρ. π ε ρ ὶ—στ. 28. Le-unclavij—Σ. 471. στ. 28. Ὅ,τι—Σ.477. στ. 18. γρ. 1756—Σ. 489. στ. 12. μ η κ έ τ ι—στ. 13 μ ὲ ν—Σ.490. στ. 28. Μογιλεβίας—Σ. 493. στ. 14. ἡ-μ ί σ ε ο ς—Σ. 503. στ. 19 ἡ Νεβρώδειος—Σ. 510. στ. 37. μετὰ τὸ 492. πρόσθες κ α ὶ 496—Σ. 514. στ. 35. κ α ὶ —Σ. 521. στ. 25. ὑ π ο σ η-μ ε ι ώ σ ε ι ς— Σ. 522. στ. 18 ἀ λ λ ὰ —Σ. 526. στ. 17 Ῥωσσίας—Σ. 527. στ. 32. Αὐτοκράτορες —Σ. 531. στ. 3. ἀπόσπα—Σ. 534. στ. 32. μινύρισμα —Σ. 553. στ. 1. δ')— στ. 16. ε')—Σ. 564 στ. 11 τούτων —Σ. 565. στ. 35. πρόσθες μετὰ τὸ τέλος Σ η μ. ἐ κ δ. ὡσαύτως καὶ σελ. 568. στ. 38. Σ. 580. στ. 18. ὅ ν τ ο ς, —Σ. 588. στ. 8. Script. —Σ. 589. στ. 21. ἐ π ι τ ε-λ ο ῦ σ ι, — Σ. 592 στ. 1. κ α ὶ — στ. 6. μετὰ τὸ — Τῶν δὲ λοιπῶν ἡ δι-όρθωσις παραλείπεται τῷ εὐγνώμονι ἀναγνώστῃ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

συνανεστράφη· ἐσαρκώθη δὲ διὰ τῆς παντοδυνάμου τοῦ ἁγίου πνεύματος συνεργείας ἐκ τῶν ἀχράντων αἱμάτων τῆς ἀειπαρθένου Μαρίας ὑπὲρ φύσιν καὶ παναχράντως, ἐπειδὴ καὶ αὐτὴ ἡ δικαιοσύνη του ἀπήτει νὰ ἦναι κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, ὅστις ἦλθε νὰ καθαρίσῃ τὸν κόσμον ἀπὸ τὴν ἁμαρτίαν (α).

Σημ. Β΄. Εἰς τὴν ἐνανθρώπησιν τοῦ υἱοῦ τοῦ Θεοῦ ἡνώθη ἡ Θεία φύσις μὲ τὴν ἀνθρώπινον ἀσυγχύτως εἰς μίαν ὑπόστασιν, καὶ ἔγεινεν ἓν Θεῖον πρόσωπον ὁ Θεάνθρωπος Ἰησοῦς, ὄχι δύω, ἀλλ' εἷς καὶ ὁ αὐτὸς υἱὸς τοῦ Θεοῦ καὶ υἱὸς τῆς Μαρίας, δύω φύσεις ἔχων καὶ δύω θελήσεις, κεχωρισμένας ἀπ' ἀλλήλων καὶ ἀσυγχύτους. Διὰ τοῦτο ἄλλοτε ἀναγινώσκομεν εἰς τὴν θείαν Γραφὴν ῥητὰ ἀνήκοντα εἰς μόνην αὐτοῦ τὴν Θεότητα· οἷον «Ὁ Χριστός, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν» (Ῥωμ. θ, 5), καὶ «Θεὸς ἐφανερώθη ἐν σαρκί» (Α΄. Τιμοθ. γ, 16), καὶ «Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος» (Ἰωάν. α, 1), καὶ «Πρὸ τοῦ Ἀβραὰμ γενέσθαι ἐγὼ εἰμί» (Ἰωάν. η, 58). Ἄλλοτε δὲ ἀπαντῶμεν ῥήσεις, τὰς ὁποίας πρέπει νὰ ἐννοῶμεν διὰ τὴν ἀνθρώπινον μόνον, καὶ οὐχὶ διὰ τὴν θείαν αὐτοῦ φύσιν. Τοιοῦτο εἶναι τό, ὅτι ὁ Χριστὸς δὲν γνωρίζει τὴν τελευταίαν ἡμέραν καὶ ὥραν, καὶ ὅτι ὁ πατὴρ αὐτοῦ εἶναι μείζων αὐτοῦ (Ἰωάν. ιδ. 28), καὶ ὅτι ἐδεήθη ἐκείνου, ὅστις ἠδύνατο νὰ λυτρώσῃ αὐτὸν ἐκ τοῦ θανάτου (Ἑβρ. ε, 7), καὶ τὰ τοιαῦτα.

Σημ. Γ΄. Διὰ τέσσαράς τινας αἰτίας παραδίδουσιν οἱ θεολόγοι ὅτι ἔπρεπε νὰ ἐνανθρωπήσῃ ὁ υἱὸς τοῦ Θεοῦ.

ά.) Διὰ νὰ μεταχειρισθῇ ὁ οὐράνιος πατὴρ τὸν μεσίτην τοῦτον καὶ ἐγγυητὴν ἡμῶν εἰς τὸ ἔργον τῆς ἀπολυτρώσεως οὕτως, ὡς νὰ ἦτο αὐτὸς ἐκεῖνος ὁ ἁμαρτήσας ἄνθρωπος, τοῦ ὁποίου τὴν φύσιν προσέλαβε. Τοῦτο δὲ ἄλλως ἦτο ἀδύνατον, ἂν αὐτὸς δὲν ἐγίνετο ἀληθῶς ἄνθρωπος (β).

β΄.) Διὰ νὰ ἑλκύσῃ πρὸς ἑαυτὸν ὁ Σωτὴρ εὐκολώτερα τοὺς ἀνθρώπους μὲ τὴν ὁρατὴν αὐτοῦ παρουσίαν, καὶ νὰ φανερώσῃ ἐκ στόματος εἰς αὐτοὺς τὴν θέλησιν τοῦ οὐρανίου πατρὸς καὶ τὴν πρὸς τὴν εὐδαιμονίαν ὁδόν (γ).

(α) Ἑβρ. ζ, 26. — (β) Τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γινώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ. Β. Κορινθ. ε, 21. — (γ) Πάντα ἃ ἤκουσα ἀπὸ τοῦ Πατρός μου ἐγνώρισα ὑμῖν· διὰ τοῦτο οὐκέτι ὑμᾶς λέγω δούλους — ὑμᾶς δὲ εἴρηκα φίλους». Ἰωάν. ιε, 15.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

ἐπουρανίου Νυμφίου καὶ τῶν αὐτῷ νενυμφευμένων ψυχῶν ἀποστάζοντος καθὰ τὸν ἁσματογράφον (α), ἤτοι τῶν εὐαγγελικῶν λόγων, τὸ ἥδιστον ἀπεμβλίβει μέλι, τὴν δογματικὴν καὶ ἠθικὴν διδασκαλίαν, τοῖς ἀναγινώσκουσι, τά τε ἄλλα τῆς ὀρθοδόξου πίστεως θεσπίσματα, τὸν ἐπουράνιον σπόρον, εἰς τὰς τῶν πειθομένων καταβάλλων ψυχάς, ἃς περιφράσσει τοῖς τοῦ πνεύματος ὅπλοις, καὶ δὴ καὶ τὸ πρὸς τοὺς ἁγίους καὶ τὴν Θεοτόκον σέβας. Ὑπὲρ τούτου δὲ καὶ τὴν τρίτην, τὴν «περὶ Ζαχαρίου Υἱοῦ Βαραχίου ὑπομνηματικὴν ἐπιστολὴν» ἔγραψε (σελ. 326—348). Κἀν ταύτῃ γὰρ ἔκ τε τῆς θείαςΓραφῆς καὶ ἐξ ἀρχαίων Πατέρων καὶ τῆς ἀναμφισβητήτου τῆς Ἐκκλησίας βεβαιώσεως τὰς ἁγίας ἐμπεδῶν παραδόσεις περί τε τῶν ἄλλων καὶ περὶ τῆς πρὸ αἰώνων ἐκλελεγμένης πανυπεράγνου Μητρὸς τοῦ Λόγου τοῦ Θεοῦ, στερρoῖς τοῖς ἐπιχειρήμασι καταβάλλει τὴν ὑπερήνορα ὀφρὺν τῶν τὰ πάντα τῷ αὐτῷ πήχει τῆς ἰδίας γνώμης καταμετρεῖν σπουδαζόντων καὶ τὰ ὑπερανῳχισμένα πρὸς τὸ χαμαιπετὲς καὶ χαμαίζηλον τῆς ἰδίας ὀρέξεως κατασπᾷν ἀπαυθαδιαζομένων, οἵτινες (ὡς αὐτὸς φησιν) «Ἐπειδὴ τὰς ψευδολόγους γνώμας ἔμαθον παρὰ τῶν Πατέρων πρὸς ἔλεγχον μνημονευομένας, συνέχεον μετ' αὐτῶν ἀδιακρίτως καὶ ὅσας πάλιν αὐτοὶ οἱ Πατέρες παρέδωκαν ἀψευδεῖς καὶ γνησίας διδασκαλίας! καὶ οὕτως ἀμφοτέρας ἐπίσης, καὶ τὰς ψευδωνύμους καὶ τὰς ἀληθεῖς παραδόσεις ἠθέτησαν ἀπηνῶς οἱ γεννάδαι, ἀπορρίψαντες καὶ τὸν καρπὸν μετὰ τοῦ κελύφους, καὶ φανέντες ἀζήλως καὶ ἀκλεῶς μαθηταὶ κρείττονες διδασκάλων καὶ (τὸ χείριστον) αὐτῆς τῆς Ἐκκλησίας σοφώτεροι». Πλὴν κἀνταῦθα οὐκ ἔμειναν οἱ ἀποστάται τῆς ἀληθείας ἀνυπεράσπιστοι· ὁ αὐτὸς γὰρ Ἱερομόναχος ἐν τῷ αὐτῷ βιβλίῳ εἰς τὸν ἄζηλον τῆς ὑπερασπίσεως ἀπεδύθη ἀγῶνα, οὐκ ὀλίγα κατά τε Πατέρων ἁγίων καὶ ἄλλων ἀνδρῶν μακαρίων συμφορήσας ὀνείδη καὶ ψόγους (περὶ ὧν ἐροῦμεν ἐν δέοντι, ὡς προϋπεσχόμεθα). Ἐν τῇ αὐτῇ Σάλπιγγι ἔμελλεν ἐκδοθῆναι καὶ ἡ περὶ Μάγων πραγματεία (σελ. 348)· ἀλλ' οἱ μισοῦντες τὴν ὀρθόδοξον τῆς Σάλπιγγος φωνὴν ἐκώλυσαν τὴν αὐτῆς ἔκδοσιν, «ὡς οἱ θέλοντες νὰ φράξωσι τὴν πηγὴν ἐκτυφλοῦσι τὸ σωληνάριον» (σελ. 516). Διὸ ἔκτοτε ἔμενεν ἀνέκδοτος καὶ ἀνεπίσκεπτος ὑπὸ τοῦ συγγραφέως. Κἀν αὐτῇ δε τῇ πραγματείᾳ μετὰ σύντομον πλὴν πολλῶν περιεκτικὴν ἀφήγησιν τῶν περὶ τῶν Μάγων καθόλου ἀναγκαιοτέρων, ἔρχεται εἰς τὴν περὶ τῶν ἐν Εὐαγγελίοις, τῶν ἐξ Ἀνατολῶν εἰς προσκύ-

---

(α) Ἆσμ. ᾀσμ. δ, 11.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

γ΄.) Διὰ νὰ πληρώσῃ ἐντελῶς τὸν θεῖον νόμον, καὶ διὰ τούτου οὐ μόνον νὰ ἀναπληρώσῃ τὰς ἡμετέρας ἐλλείψεις εἰς τὴν πλήρωσιν τοῦ νόμου, ἀλλὰ καὶ νὰ ἀφήσῃ προσέτι παράδειγμα καὶ κανόνα εἰς ὅλας μῶν τὰς πράξεις τὴν ἁγιωτάτην αὐτοῦ ζωήν, τὴν ὁποίαν χρεωστοῦμεν νὰ μιμώμεθα, ἂν θέλωμεν νὰ σωθῶμεν· τοῦτο δὲ νὰ πράξῃ δὲν ἠδύνατο, χωρὶς νὰ προσλάβῃ τὴν ἀνθρώπινον φύσιν (α).

δ΄.) Διὰ νὰ ἀποθάνῃ, καὶ μὲ τὸν θάνατόν του ἱκανοποιήσας τὴν δικαιοσύνην τοῦ Θεοῦ νὰ μᾶς ἐλευθερώσῃ ἀπὸ τὴν πρέπουσαν τιμωρίαν, καὶ ἀξιώσῃ ἡμᾶς τῆς αἰωνίου ζωῆς (β).

Ταῦτα εἶναι τὰ κυριώτερα αἴτια τῆς θείας ἐνανθρωπήσεως, ἥτις ἔγεινε μετὰ παρέλευσίν τινων ἑκατονταετηρίδων, ἀφ' οὗ ἐξέπεσεν ὁ ἄνθρωπος, διότι ἔπρεπεν εἰς τοῦτο τὸ μεταξὺ νὰ ἑτοιμάσῃ τὴν ὁδόν του ὁ θεῖος ἡμῶν μεσίτης διὰ τοῦ φυσικοῦ καὶ γραπτοῦ νόμου, καὶ διὰ τῶν προφητῶν, καὶ διὰ πολλῶν κολάσεων δικαιοτάτων πρὸς τοὺς ἀσεβεῖς καὶ ἀνταμοιβῶν καὶ ἐπαγγελιῶν πρὸς τοὺς εὐσεβεῖς γενομένων. Ἐπειδὴ δὲ ταῦτα ὅλα δὲν ἦσαν ἱκανὰ νὰ ἐμποδίσωσι τοὺς ἀνθρώπους ἀπὸ τὴν φθορὰν τῆς ἁμαρτίας κοινῆς γενομένης, καὶ ἄλλη ἐλπὶς παρὰ τὴν θείαν βοήθειαν δὲν ἐφαίνετο, ἀφ' οὗ ἐπληρώθη ὁ διωρισμένος καιρὸς εἰς τὴν ἀπόκρυφον βουλὴν τοῦ Θεοῦ, ἐφανερώθη τέλος πάντων εἰς τοὺς ἀνθρώπους διὰ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, ὁ πάλαι διὰ τῶν προφητῶν λαλήσας Θεός (γ). Αὕτη δὲ ἡ μετά τινας ἑκατονταετηρίδας ἐνανθρώπησις τοῦ Σωτῆρος δὲν ἔβλαψε τὴν σωτηρίαν τῶν ἐκλεκτῶν καὶ ἁγίων ἀνδρῶν, ὅσοι ἔζησαν πρὸ τῆς Χριστοῦ γεννήσεως· διότι καθὼς ἡμεῖς πιστεύομεν εἰς τὸν ἐλθόντα, οὕτως αὐτοὶ ἐπίστευσαν εἰς τὸν μέλλοντα νὰ ἔλθῃ σωτῆρα τῶν ἀνθρώπων. Ἡ πίστις αὐτῶν κατ' οὐσίαν δὲν διαφέρει ἀπὸ τὴν ἰδικήν μας (δ)· διὰ τοῦτο ὁ ἅγιος Παῦλος οὐ μόνον ὀνομάζει πιστὸν τὸν Ἀβραάμ, ἀλλὰ καὶ παράδειγμα προβάλλει αὐτὸν εἰς τοὺς θέλοντας νὰ δικαιωθῶσι διὰ τῆς πίστεως (ε).

Σημ. Δ΄. Ὁ ἐνανθρωπήσας υἱὸς τοῦ Θεοῦ ἐγεννήθη εἰς τὴν Βηθλεὲμ χώραν τῆς Ἰουδαίας ἐπὶ Αὐγούστου καίσαρος Ῥώμης· τὴν ὀγδόην ἡ-

---

(α) Ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ. Γαλατ. δ, 4.— (β) Ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστι, τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Ἑβρ. β, 14.— (γ) Ἑβρ. α, 1. — (δ) Ἐν ταύτῃ τῇ πίστει ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. Ἑβρ. ια, 2. καὶ ιβ, 2. καὶ ιγ, 8. — (ε) Ῥωμ. δ, 16.

Ακαδημία Αθηνών / Academy of Athens

ταύτης λεωφόρου, οὐδόλως ἵσταται, οὐδ' ἐμμένει ἐπι πολύ, ἀλλ' εὐθὺς ἀποπηδᾷ, ὡς δορκὰς ἢ ἔλαφος ἀπὸ βρόχων, καὶ στραφεὶς βαδίζει τὴν στενὴν καὶ τεθλιμμένην· « Ἐμοῦ δὲ (λέγει μετὰ τοῦ Δαβὶδ) παρὰ μικρόν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου! Ὁδήγησόν με, κύριε, ἐν τῇ ὁδῷ σου καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου! Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα », τὰ προσωρινὰ θέλγητρα τῆς φιληδονίας καὶ φιλοκερδείας καὶ φιλαρχίας, τῆς τρικρούνου ταύτης πηγῆς τῶν φοβερῶν τοῦ βίου δυστυχημάτων (α). « Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, » καὶ πρόσκαιρος παροδίτης· εἰς τὸ σύντομον τοῦ βίου τούτου στάδιον, παρὰ τὴν εὐρύχωρον τῆς ἀνομίας ἁμαξητόν, προτιμῶ τὴν στενόχωρον πορείαν τῶν ἐντολῶν σου. « Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα » ! Ταῦτα καὶ τοιαῦτα καὶ λέγει καὶ φρονεῖ, τὴν θείαν ἐπικαλούμενος βοήθειαν, καὶ βαδίζει καὶ προχωρεῖ εἰς τοὺς ἀγῶνας τῆς ἀρετῆς. Εἰς ὅλας τὰς ἀνάντεις καὶ κατηφορικὰς ἀνωμαλίας, ἐνίοτε δὲ καὶ φαραγγώδεις τραχύτητας κρημνῶν καὶ σκοπέλων, ὅπου καὶ θηρίων ἀγρίων καὶ ἑρπετῶν ἰοβόλων ἁπαντᾷ προσβολάς, προβαίνει γενναῖος, ἀτρόμητος, ἀκάματος, πλατυνόμενος τὴν καρδίαν ὑπὸ τοῦ ἐνοικοῦντος πνεύματος τῆς ἀνδρείας, καὶ ἀποβλέπων πρὸς τὰς αἰωνίους ἀντιμισθίας τῶν προσκαίρων κόπων τῆς ἀρετῆς. Ὁποιονδήποτ' ἂν ᾖ τὸ φορτίον οὗ φέρει ἐπαγγέλματος, θεωρεῖ τοῦτο ὡς ἱερὰν παρακαταθήκην, ἐμπεπιστευμένην εἰς αὐτὸν ὑπὸ τῆς προνοίας πρὸς κοινὴν ἑαυτοῦ καὶ τοῦ πλησίον ἢ καὶ τῆς πατρίδος ὠφέλειαν· καὶ προσέχει συντόνως, ὅπως, ὅταν φθάσῃ πρὸς τῆς πορείας τὸ τέρμα, κλίνας ἡσύχως τὰ γόνατα καὶ τὰ νῶτα, ἀποθέσῃ πάλιν εἰς τοὺς κόλπους τῆς κοινωνίας τὸ πεπιστευμένον ἐπάγγελμα, μάλιστα μὲν πρὸς τὸ βέλτιον καὶ κοινωφελέστερον ηὐξημένον, εἰ δέ μή, ἀνόθευτον καὶ ἀκέραιον, καθὼς αὐτὸ παρέλαβεν. Ὁποιαδήποτ' ἂν ὦσι τὰ προτερήματα, δι' ὧν αὐτὸν ἡ πρόνοια κατεκόσμησεν, ἀγωνίζεται προθύμως, ἵνα καὶ τὴν τούτων χρῆσιν καὶ τὸ κέρδος τὸ ἐξ αὐτῆς ἀμίαντον καὶ ἄχραντον παραστήσῃ εἰς τοὺς πόδας τοῦ θρόνου τῆς θείας ἀγαθότητος. Οὐδέποτε συγκρούεται συνωθούμενος πρὸς τὸν πλησίον αὐτοῦ συνοδίτην, ἀλλ' ὁμόφρων μετ' αὐτοῦ συμβαδίζει καὶ χαρίεις καὶ προσφιλής· καὶ ὅταν αὐτὸν ἴδῃ πιεζόμενον ὑπὸ τοῦ βάρους, προθύμως ἀνακουφίζει. Καὶ ὅταν αὐτὸν

(α) Α. Ἰωάν. β. 16.

Ακαδημία Αθηνών / Academy of Athens

ρυθμόν, ὡς εἰς τὸ ἀνωτέρω τ ά χ α· καὶ τοὺς τόνους ἐκτόπως παραβλάπτει, λέγων δ ε ι κ ν ῦ τ α ι, καὶ ἐνδεικνῦται καὶ δ ι α τ ρ ι β ο ῦ σ ι, καὶ ἐ χ ο ῦ σ α ι κτλ. Καὶ περὶ τοὺς σχηματισμοὺς δὲ ὁ λόγος ἀκολασταίνει μέτροι καὶ εἰς τὰ π ρ ο χ ω ρ ό ν, κ α τ α π α τ ό ν, λ ε η λ α τ ό ν· ἐ ν ο ι κ ό ν (σελ. 4, 26), ἀντὶ τῶν οὐδετέρων προχωροῦν, καταπατοῦν, κτλ. Πρόσθες καὶ τὰ ἐγκραταὶ (σελ. 74) ἀντὶ ἐγκρατεῖς, καὶ ἀντίῤῥητος ἀνὰ ἀναντίῤῥητος, καὶ τὸ θ ε ο λ ή π τ η ς, καὶ ἄλλα, καὶ τέλος, καὶ τὸν νοῦν αὐτὸν τεθηλυκισμένον καὶ γυναικογενῆ, «νόας ἡ γ ε μ ο ν ι κ ὰ ς» (ὁμοιοκαταλήκτως πρὸς τὸ π ό λ ε ι ς α ὐ τ ο κ ρ α τ ο ρ ι κ ά ς, σελ. 264). Καὶ ἀπόστροφοι δὲ γίνονται παραδοξότατοι καὶ παρακεκινδυνευμένοι! ἀποστρέφεται δηλαδὴ καὶ τὸ η εἰς τὸ μόριον μή, μ' ὑ π ο λ ά β ο υ ν, ἀντὶ μ ὴ ὑ π ο λ ά β ο υ ν, καὶ τὸ ω εἰς τὸ οὕτω, «καὶ φ ρ ο ν ο ῦ ν τ α ι ο ὔ τ' α ὐ τ ά», καὶ τὸ ι εἰς τὴν περί, π ε ρ' υ ἱ ο ῦ, κτλ. Ἐνίοτε δὲ παραφέρεται καὶ πρὸς τὸ τραχύτατον ἡ δι' ἀποστόφου ἀποκοπή, οἷον, ἄ λ λ ο ς ἄ λ λ α π ά λ' φ ρ ο ν ε ῖ (πάλιν), ἔν μόν' νευμα (42), ὑπὲρ νοῦ' (νοῦν σελ. 41, 50), καὶ ἔ χ' π ο σ ῶ ς (ἔχει), καὶ ε ἶ σ' Σ α τ ὰ ν (εἶσε. σελ. 147), κτλ. Καὶ λέξεις ἔτι σολοίκους εἰσάγει, λιξιφανίζων, ὡς τὰ κ α θ ο ρ γ ὴ (ὀργή. σελ. 3), καὶ μ ο ν ο θ έ λ η σ ι ς, καὶ μ ο ν ό φ υ σ ι ς (σελ. 119), καὶ γ ν ω μ ο ν ο ε ῖ (σελ. 35), καὶ κ α κ ο χ ή! (κακουχία. σελ. 257). Καὶ συνθήκην πλέκει φράσεων ὅλως ἀδιανοήτων καὶ πρὸς ἑαυτὰς ἀντιφατικῶν· οἷον, «ἡ ἔ κ τ η ο ὔ π ω ἐ ν έ σ τ η κ ε ν, ὅπερ ἐ σ ί ν, ο ὔ π ω ἀ ρ χ ὴ ν ε ἴ λ η φ ε ν· ἦ ν γ ὰ ρ ἐ ν τ ῷ ε ἰ λ ῆ φ έ ν α ι!» (σελ. 68). Ἀλλὰ μὴ μακροτέραν παρατείνωμεν τὴν ἐπιστασίαν περὶ τὸ λεκτικόν. Ἐπιλέγομεν δὲ μόνον, ὅτι ἡ πολλὴ ψυχρολογία, καὶ ἡ τῶν ἐπιθέτων μειρακιώδης ἀτοπία, καὶ τὸ συχνάκις πεπατημένον καὶ χυδαιοπρεπὲς τῆς ἀδολεσχίας, καὶ ὅλως φιλοτιμία τις πρὸς λαλιὰν ἄκαιρος καὶ ἀκρατὴς καὶ πολλῶν ἀνωφελῶν ἢ ἀναπήρων ἐνθυμημάτων ἐξάγγελος, ἀποτελοῦσι τόσον ὀλιγόκαρπον τὸν πολύστιχον τοῦτον ὄγκον, ὥστε ἀπὸ 267 σελίδων καὶ πολλῶν ἑκατοντάδων στίχων μόλις συνάγεται ὀλίγη ἱστορία, εἰς δέκα, τὸ πολύ, σελίδας χωρητή.

Β'. Ἁμαρτάνει ἐν οὐκ ὀλίγοις τὸ σύγγραμμα περὶ τὴν τῶν συμβεβηκότων ἀφήγησιν, ὡς ὅ τ α ν λέγῃ ὅτι τὸ πανάγιον πνεῦμα κατῆλθεν εἰς τοὺς Ἀποστόλους ὡ ς π υ ρ ο φ ό ρ ο ς σ φ α ῖ ρ α (σελ. 71)! ἀντὶ ἐ ν ε ἴ δ ε ι π υ ρ ί ν ω ν γ λ ω σ σ ῶ ν (Πράξ. ά.)· καὶ προσέτι ὅτι ἐπλήρωσε τὸν οἶκον ἐκεῖνον καί τις ἐν τῇ βίβλῳ τῶν Πράξεων πάντῃ ἄγνωστος ο ὐ ρ ά ν ι ο ς ὁ σ μ ὴ (διὰ τὴν ὁμοιοκαταληξίαν τοῦ ὁ ρ μ ή)· πάλιν, οἱ Ἰουδαΐζοι, λέγει,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΕΡΜΗΝΕΥΤΙΚΗ ΠΑΡΑΦΡΑΣΙΣ ΤΟΥ Α΄. ΨΑΛΜΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΔΑΥΙΔ.

Περίληψις.

Ὁ θεόπνευστος οὗτος ψαλμὸς περιέχει τὰ ἑφεξῆς.

Α΄) Τοὺς χαρακτῆρας τῆς μακαριότητος τοῦ θεοφιλοῦς· τρεῖς μὲν ἀποφατικούς· **Μὴ** πορευθῆναι ἐν βουλῇ ἀσεβῶν· **Μὴ** στῆναι ἐν ὁδῷ ἁμαρτωλῶν· **Μὴ** καθίσαι ἐν καθέδρᾳ λοιμῶν (§. **1**)· ἕνα δὲ καταφατικὸν καὶ θετικόν, τὴν ἐγκάρδιον καὶ πρακτικὴν ἀφοσίωσιν εἰς τὸν νόμον τοῦ **Θεοῦ** (§. **2**).

Β΄) Παρομοιάζει τὸν τοιοῦτον μακαριστὸν ἄνδρα πρὸς δένδρον καρποφόρον καὶ ἀειθαλές (§. **3**).

Γ΄) Διαγράφει τὴν τελευταίαν ἀθλιότητα τῶν ἀνόμων καὶ τὴν παρὰ τῷ **Θεῷ** τῶν δικαίων εὐαρέστησιν (§. **4. 5. 6**).

§. **1**. «Μακάριος ἀνήρ· ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν».

Μακάριος ὁ ἄνθρωπος, ὅστις δὲν ἐπορεύθη εἰς συμβούλιον ἀσεβῶν! **Μακάριος**! διότι δὲν ἐμίανεν οὔτε τὰς ἀκοάς, οὔτε τὰς φρένας, οὔτε τὴν ψυχήν, ἀπὸ πονηρῶν καὶ βλασφήμων περὶ **Θεοῦ** λογισμῶν, οὐδὲ περιέπεσεν εἰς τὴν ἐκ τούτων ἀθλιότητα καὶ κακοδαιμονίαν. Πορεύεται δὲ εἰς βουλὴν ἀσεβῶν οὐ μόνον ὅστις, συνομιλῶν μετ' αὐτῶν, ὁμοφρονεῖ καὶ συγκατατίθεται εἰς τὰς ἀθέους αὐτῶν δοξασίας, ἀλλὰ καὶ ὅστις καθ' ἑαυτὸν διανοεῖται ἀσεβείας καὶ ἀπιστίας λογισμούς· διότι καὶ οὗτος πορεύεται καὶ διάγει τὸν βίον κατὰ τὴν γνώμην καὶ τὰ φρονήματα τῶν ἀσεβῶν (α). Τοιαύτη εἰς **Θεὸν** ἁμαρτία γίνεται μὲν ἁπάντων τῶν ἀδικημάτων πηγή, ἀποβαίνει δὲ καὶ κακὸς θησαυρὸς καὶ

(α) Τὸ «**Βουλὴ ἀσεβῶν**» οἱ πλεῖστοι τῶν θείων **Πατέρων** ἡρμήνευσαν συμβούλιον, συνέλευσιν, συνέδριον (Κύριλλος, Ἱλάριος, Αὐγουστῖνος, Θεοδώρητος, ἀρχαῖος Σχολιαστής, κτλ.)· καὶ ἡ τοῦ σημερινοῦ ἑβραϊκοῦ κώδηκος ἀντιστοιχοῦσα λέξις συνέλευσιν σημαίνει καὶ συμβουλήν. Ὁ δὲ Κλήμης ὁ **Στρωματεὺς** καὶ ὁ **Μ. Βασίλειος** καὶ ἄλλοι τῶν φωστήρων τῆς Ἐκκλησίας ἐξέλαβον τὸ βουλὴ ἀντὶ τοῦ γνώμη, στοχασμός· «Τὸν μὲν πρῶτον μακαρισμὸν τετάχθαι ἐπὶ τῶν μὴ κατακολουθησάντων ταῖς γνώμαις ταῖς πονηραῖς, ταῖς ἀποστατησάσαις τοῦ **Θεοῦ**» (Κλήμ. **Στρωμ. Β΄.** σελ. **285**). «Μὴ γένοιτο δέξασθαι ἡμᾶς ἐξ ἀπιστίας ποτὲ ἀμφιβολίαν περὶ **Θεοῦ**! τοῦτο γάρ ἐστι τὸ πορευθῆναι ἐν βουλῇ ἀσεβῶν. — ὑπόληψιν ἄπιστον λαβεῖν περὶ **Θεοῦ**» (**Μ. Βασίλ.** Ἑρμ. εἰς τὸν ά. Ψαλ.). Ἀλλ' ἀμφότεραι αἱ ἑρμηνεῖαι εἰς τὸ αὐτὸ καταντῶσιν.

«Σῶτερ Ἰησοῦ,
Ποιμὴν ἀμνῶν βασιλικῶν,
Βασιλεῦ ἁγίων,
Λόγε Πανδαμάτωρ
Πατρὸς ὑψίστου,
Σοφίας πρύτανι,
Ἡγοῦ προβάτων λογικῶν,
Ποιμὴν ἅγιε, ἡγοῦ».
«Βασιλεῦ παίδων ἀκάκων,
Φῶς ἀΐδιον, ἐλέους πηγή,
Τοὺς σοὺς ἀφελεῖς
Παῖδας ἄγειρον
Αἰνεῖν ἁγίως,
Ὑμνεῖν ἀδόλως
Παίδων ἡγήτορα Χριστόν! »
«Γάλα οὐράνιον
Σοφίας τῆς σῆς ἐκθλιβόμενον
Ἀπαλοῖς στόμασιν
Ἐμπιπλάμενοι,
Αἴνους ἀφελεῖς,
Ὕμνους ἀληθεῖς
Μέλπωμεν Χριστῷ » !
«Χορὸς εἰρήνης,
Οἱ Χριστόγονοι,
Λαὸς σώφρων
Ψάλλωμεν ὁμοῦ
Θεὸν εἰρήνης » (α).

Τούτους, ὑμνῳδέ, καὶ τοιούτους ὕμνους ψάλλε καὶ σὺ μεθ' ἡμῶν, ἐπίλεγε δὲ καὶ τὸ ἐφύμνιον.

« Τὸν ποιμένα καὶ ἀμνὸν
Ἡ παρθένος καὶ ἀμνὰς
Σὺν μαρτύρων τοῖς χοροῖς ἐκδυσώπει ἐκτενῶς,
Ἀλώβητον
Βαρέων λύκων
Σῴζειν τὴν ποίμνην αὐτοῦ ».

(α) Ἐκ τῶν ὕμνων τοῦ Κλήμεντος (Παιδαγ. Γ. σελ. 196).

Ακαδημία Αθηνών / Academy of Athens

Σημ. Δ΄. Πρὸς ἀποφυγὴν τῶν τοιούτων ἀπατῶν δύω μάλιστα κανόνες εἰς ἕκαστον εὐσεβῆ συντελοῦσι· ά.) ἐκείνη μόνη ἡ λατρεία τοῦ Θεοῦ εἶναι ἀληθὴς λατρεία, ἥτις γίνεται ἐκ καρδίας μετανοούσης καὶ ἀνυποκρίτου· καθότι ὅλα τὰ ἐξωτερικὰ σημεῖα τῆς λατρείας εἶναι ψιλὰ δείγματα τῆς ἐσωτερικῆς πρὸς Θεὸν εὐλαβείας, χωρὶς τῆς ὁποίας δὲν ὠφελοῦσιν οὐδέν. Διὰ τοῦτο τὸ Εὐαγγέλιον ζητεῖ ἀπὸ τοὺς ἀληθινοὺς προσκυνητὰς νὰ προσκυνῶσι τὸν Θεὸν ἐν πνεύματι, (ἤγουν οὐχὶ μόνον ἐξωτερικῶς, ἀλλὰ καὶ ἐσωτερικῶς μάλιστα), καὶ ἀληθείᾳ, (ἤγουν ἀνυποκρίτως) (Ἰωάν. δ, 23)· β΄.) νὰ προσέχῃ εἰς μόνον τὸν θεῖον λόγον, βέβαιος ὢν, ὅτι εἰς μόνον αὐτὸν περιέχεται ὁ κανὼν τῆς ὀρθῆς τοῦ Θεοῦ λατρείας καὶ ἡ αἰώνιος ζωὴ, κατὰ τὴν μαρτυρίαν τοῦ Χριστοῦ (Ἰωάν. ε, 39).

ΑΡΘΡΟΝ ς΄.

§. ζ΄. Ἡ τρίτη ἐντολὴ μᾶς ἀπαγορεύει τὸ νὰ μεταχειριζώμεθα τὸ ὄνομα τοῦ Θεοῦ μὲ καταφρόνησιν τῆς θείας δόξης αὐτοῦ, καὶ ἐξ ἐναντίας μᾶς διδάσκει τὸν τρόπον τῆς ὀρθῆς τοῦ Θεοῦ λατρείας.

Σημ. Α΄. Μὲ τὸ ὄνομα τοῦ Θεοῦ εἶναι ἡνωμένη ἡ ὑψίστη αὐτοῦ δόξα, πρὸς τὴν ὁποίαν ὀφείλουσι τὰ κτίσματα πάντοτε νὰ προσφέρωσι τὸ μέγιστον σέβας. Διχῶς δὲ δύναται νὰ ἐκληφθῇ εἰς μάτην τὸ ὄνομα τοῦ Θεοῦ, ἢ διὰ τῆς ἐπιορκίας, ἢ διὰ καταφρονητικῆς ἄλλης καὶ ἀναξίας μεταχειρίσεως. Ἁμαρτάνουσι λοιπὸν εἰς ταύτην τὴν ἐντολήν,

α΄.) Οἱ βλάσφημοι, οἵτινες προφέρουσι λόγους ἀσχήμονας καὶ βλασφήμους ἐναντίον τοῦ Θεοῦ καὶ τῶν θείων ἀνδρῶν. Τοιοῦτοι εἶναι οἱ λέγοντες τὸν Θεὸν αἴτιον τῶν κακῶν, διότι δὲν δίδει εἰς αὐτοὺς ὅ,τι ἐπιθυμοῦσιν· οἱ γογγύζοντες κατὰ τῆς θείας δικαιοσύνης εἰς τὰς δυστυχίας των· οἱ ψέγοντες τὴν φορὰν τῶν πραγμάτων τοῦ κόσμου ὡς ἀπρονόητον, καὶ τολμῶντες νὰ κρίνωσι περὶ τούτων κατὰ τὰς πεπλανημένας αὐτῶν ὑπολήψεις, ἀνακρίνοντες τὴν ἁγίαν Γραφὴν καὶ μὴ παραδεχόμενοι πολλά τινα τῶν ἐξ αὐτῆς, καὶ οἱ τούτοις ὅμοιοι, οἵτινες καὶ εἰς τὴν παλαιὰν διαθήκην μὲ θάνατον ἐπαιδεύοντο (α), καὶ τώρα ἀπὸ τὴν Ἐκκλησίαν τῶν ὀρθοδόξων ὡς μέλη σεσηπότα καὶ ἀνίατα ἀποκόπτονται, διὰ νὰ μὴ μεταδώσωσι καὶ εἰς ἄλλους τῆς ἰδίας κακίας τὸ μίασμα (β).

β΄.) Οἱ ἐπίορκοι, ὅσοι ἢ ψευδῶς παντάπασιν ὀμνύουσιν, ἢ ἀλη-

(α) Λευϊτ. κδ, 16. — (β) Α΄ Κορινθ. ε, 1—11 καὶ Τίτ. γ, 10.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Γ.

Καθήκοντα τοῦ Οἰκονόμου.

§. ε. Ὁ δέ, τέλος, Οἰκονόμος, τὸ τρίτον πρόσωπον τῆς ἐσωτερικῆς διοικήσεως τῆς Ἀκαδημίας, πόθεν μὲν καὶ ὅπως πρέπει νὰ ἐκλέγηται, εἴπομεν ἐν τοῖς ἔμπροσθεν (Κεφ. Η. §. γ, ιβ, ιδ)· τούτου δὲ τὰ κυριώτατα καθήκοντα στρέφονται περί τε τὸ χρηματικόν, καὶ περὶ τὸ οἰκοδόμημα τῆς Ἀκαδημίας, καὶ εἰς τὰ περὶ τροφῆς καὶ ἱματισμοῦ τῶν συσσιτων, καὶ τὴν ἐπίσκεψιν τῶν ἀῤῥωστούντων καὶ τὸ ὑπηρετικόν.

Χρηματικόν.

α) Νὰ παραλαμβάνῃ παρὰ τῶν ἐπιτρόπων τῆς Ἀκαδημίας (βλ. Κεφ. Η. §. ε) κατὰ μῆνα μὲν ἕκαστον τὴν ἀναγκαίαν δαπάνην πρός τε καθημερινὴν διατροφὴν καὶ μισθοὺς ὑπηρετῶν καὶ τὰς λοιπὰς ἐφημερινὰς καὶ συνήθεις ἀνάγκας. Καθ' ἑκάστην δὲ τριμηνίαν τὰ σιτηρέσια τῶν διδασκάλων καὶ τῶν ἄλλων ἐπιστατῶν τῆς Ἀκαδημίας.

β) Νὰ προνοῆται περὶ τῆς ἐν καιρῷ εἰσοδίας τῶν ἐδωδίμων καὶ τῶν ἄλλων ἀναγκαίων, ἵνα ἀγοράζωνται τὰ κάλλιστα καὶ οἰκονομικώτατα, καὶ ἀποθέτῃ αὐτὰ εἰς ἀποθήκας καθαρίους καὶ ἀσφαλεῖς, φροντίζων μὴ γίνηταί τις τούτων σφετερισμός· καὶ τούτων τὴν τιμὴν λαμβάνει παρὰ τῶν ἐπιτρόπων.

γ) Κατὰ διορισμὸν τοῦ Κυβερνήτου (συναινοῦντος καὶ τοῦ Βουλευτηρίου) νὰ δίδῃ εἰς τοὺς πτωχοτάτους τῶν μαθητῶν, ὅσοι προκόπτουσιν, ἅπαξ μὲν τὰ ἀναγκαῖα τῶν μαθημάτων βιβλία, κατὰ δὲ μῆνα τὰ χρήσιμα πρὸς τὸ γράφειν. Καὶ τούτων τὴν τιμὴν λαμβάνει παρὰ τῶν ἐπιτρόπων.

δ) Ἐὰν χρειασθῇ μικρά τις ἐπισκευὴ τῆς Ἀκαδημίας ἢ σκευῶν ἀναγκαίων ἀγορά, νὰ ἀναγγέλλῃ τῷ Κυβερνήτῃ καὶ νὰ κάμνῃ τὴν περὶ ταῦτα δαπάνην (ἥτις νὰ μὴ ὑπερβαίνῃ τὰ δέκα τάλληρα), καὶ ταύτην ἐν καιρῷ λαμβάνει παρὰ τῶν ἐπιτρόπων.

ε) Νὰ φροντίζῃ περὶ τῶν ἐτησίων τῆς Ἀκαδημίας προσόδων, ὅσον τὸ ἐπ' αὐτῷ, ἵνα αὐξάνωσιν ἢ μὴ κινδυνεύωσι, καὶ ἀποδίδωνται ἐν καιρῷ πρὸς τοὺς ἐπιτρόπους.

ς) Νὰ καταγράφῃ τὰ προσπίπτοντα ἔξοδα καθ' ἡμέραν ἐν τῷ προσωρινῷ καταστίχῳ, καὶ εἰς ἄλλο γενικὸν κατὰ μῆνα καὶ κατ' ἔτος.

ζ) Τὴν ἑκάστου μηνὸς καταγραφὴν τῆς δαπάνης νὰ φέρῃ εἰς τὸν Γραμματέα τῆς Ἀκαδημίας, ἵνα καταγράφηται εἰς τὸ κατάστιχον

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

καὶ αὐτὴ διορθώσασα πολλῷ πρότερον πρὸ τοῦ κινηθῆναι τὸ ζήτημα ἐν οἷς εἴδομεν παρά τισιν ἐξερευνήσαντες ἐκτύποις. Τὸ δὲ περὶ τῶν ἀβαπτίστων τελευτώντων νηπίων, ὅτι οὐ κολάζονται, διδασκαλία ὑπάρχει τῶν θείων ἀτέρων τοῦ τε Γρηγορίου τοῦ Θεολόγου, καὶ τοῦ Μεγάλου Ἀθανασίου καὶ ἄλλων, ὧν τὰς ῥήσεις ἀνέγραψεν ἡ περὶ τὰ θεῖα πολυμαθὴς αὐτῆς κορυφή. Ταῦτα τοίνυν πληροφορηθέντες, τὸ μὲν εὐσεβὲς τῆς γνώμης αὐτῆς καὶ τὸ περὶ τὴν εὐαγγελικὴν διδασκαλίαν ἀμώμητον τοῦ φρονήματος ἐδικαιώσαμεν καὶ ἠγασάμεθα. Ἐπεὶ δὲ τὴν περὶ τούτων ἀμφοτέρων διάγνωσιν τῆς ἐκκλησίας ὡς πιστὸς αὐτῆς υἱὸς ἐξητήσατο τύποις ἐκδοθῆναι ἐν σελίσιν ἰδιαιτέραις ἐν τῷ καθ' ἡμᾶς Πατριαρχικῷ Τυπογραφείῳ, ἵνα προστεθῶσιν ἐν τῇ ὑπ' αὐτῆς ἐκδεδομένῃ Κατηχήσει, κοινῇ Συνοδικῇ διαγνώσει διετάξαμεν, ἵνα τὸ μὲν περὶ τῶν νηπίων σαφέστερον ἐκτεθῇ οὑτωσί· «Τὰ ἀβάπτιστα νήπια τελευτῶντα, καί τοι οὐ κολάζονται, ὡς προαιρετικῆς ἁμαρτίας καθαρεύοντα, τῆς γε μὴν οὐρανίου Βασιλείας οὐκ ἀξιοῦνται, ὡς μὴ καθαρθέντα διὰ τοῦ θείου λουτροῦ ἀπὸ τοῦ ῥύπου τῆς προπατορικῆς ἁμαρτίας, καὶ μὴ τυχόντα τῆς πνευματικῆς ἀναγεννήσεως· «Ἐὰν γὰρ (φησὶ) μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐκ εἰσελεύσεται εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν». Τὸ δὲ περὶ τοῦ Βαπτίσματος πλατύτερον ἐκτεθῇ οὑτωσί· «εἰς τὴν τριττὴν κατάδυσιν καὶ ἀνάδυσιν, ἐπιλέγοντος τοῦ Ἱερέως εἰς μὲν τὴν πρώτην κατάδυσιν « εἰς τὸ ὄνομα τοῦ πατρὸς Ἀμὴν,« εἰς δὲ τὴν δευτέραν κτλ. Ταῦτα τοίνυν ἐν σελίσιν ἰδίαις τυπωθέντα πέμπομεν ἐν τῷ παρόντι πρὸς τὴν αὐτῆς Σοφολογιότητα, ἵνα πᾶσα ἀφορμὴ ἀρθῇ ἀπὸ τῶν ζητούντων ἀφορμάς, καὶ πρὸς ἀσκανδάλιστον πληροφορίαν τῶν ἁπλουστέρων· συνάμα δε καὶ ταῖς ἐγκαρδίοις ἡμῶν εὐχαῖς καὶ εὐλογίαις αὐτὴν καταζέφομεν, ἕνεκα τῶν ὑπὲρ τῆς εὐσεβείας καὶ τοῦ φωτισμοῦ τῶν ὁμογενῶν ἀκαμάτων αὐτῆς πόνων, ἥτις καὶ αὐτὴν τὴν παράδοσιν τῆς Κατηχήσεως ἠμελημένην οὖσαν ἐν τοῖς σχολείοις, εἰσήγαγε πρώτη ἐν τῷ ὑπ' αὐτῆς εὐκλεῶς διοικουμένῳ φιλολογικῷ Γυμνασίῳ τῆς φιλοχρίστου πόλεως Σμύρνης. Οἶδε γὰρ ἡ ἐκκλησία τοὺς εἰς σύστασιν αὐτοῦ καὶ καρποφορίαν καταβληθέντας αὐτῆς ἀγῶνας, δι' ὧν διαπρέπει ἐν τῇ τῶν εὐσεβῶν διδασκάλων τοῦ ὀρθοδόξου ἡμῶν γένους χορείᾳ, τῇ τε θείᾳ διδασκαλίᾳ τὰς ψυχὰς τῶν μαθητῶν διατρέφουσα, καὶ τῇ θύραθεν καὶ προγονικῇ τῶν λόγων σοφίᾳ τὰ τούτων ἤθη καὶ τὴν γλῶσσαν καταχαλλύνουσα, καὶ μὴν καὶ διὰ τῆς ἀπ' ἄμβωνος καλλιφθόγγου κηρύξεως τοῦ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἱερέα, θαῤῥῶν εἰς τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ, καὶ πιστεύων ἀδιστάκτως, ὅτι ὁ πολύτιμος θάνατος τοῦ Χριστοῦ εἶναι ἱκανὸς νὰ καθαρίσῃ τοὺς πιστοὺς ἀπὸ πάσης ἁμαρτίας. Τοιαύτην ἐσωτερικὴν γνῶσιν ἡνωμένην μετὰ φανερᾶς ὁμολογίας ἀπαιτεῖ παρ' ἡμῶν ἡ Ἐκκλησία, ὅταν μεταλαμβάνωμεν τὴν ἁγίαν Εὐχαριστίαν, εἰς τῆς ὁποίας τὴν κοινωνίαν ἐπιλέγομεν ταῦτα τὰ λόγια· « Π ι σ τ ε ύ ω Κ ύ ρ ι ε κ α ὶ ὁ μ ο λ ο γ ῶ, ὅ τ ι σ ὺ ε ἶ ἀ λ η θ ῶ ς ὁ Χ ρ ι σ τ ό ς, ὁ υ ἱ ὸ ς τ ο ῦ Θ ε ο ῦ τ ο ῦ ζ ῶ ν τ ο ς, ὁ ἐ λ θ ὼ ν ε ἰ ς τ ὸ ν κ ό σ μ ο ν ἁ μ α ρ τ ω λ ο ὺ ς σ ῶ σ α ι, ὧ ν π ρ ῶ τ ό ς ε ἰ μ ι ἐ γ ώ ». Διὰ τοῦτο ἀπὸ τὸ μυστήριον τοῦτο πρέπει νὰ ἐμποδίζωνται οἱ ψευδεῖς Χριστιανοί, καὶ οἱ φανεροὶ ἀσεβεῖς (α), καὶ οἱ ἀδιόρθωτοι ἁμαρτωλοί, οἵτινες ἐὰν προσέλθωσιν εἰς τὴν κοινωνίαν χωρὶς τῆς προσηκούσης προετοιμασίας, ἐπισπῶσιν εἰς ἑαυτοὺς τὴν θείαν ὀργήν, ὡς καταφρονηταὶ τῆς ἁγιότητος τοῦ Θεοῦ (β).

Σημ. Β'. Οἱ Χριστιανοὶ τῆς παλαιᾶς Ἐκκλησίας μετελάμβανον τὴν ψυχικὴν ταύτην τροφὴν καθ' ἑκάστην ἑβδομάδα τὴν Κυριακήν, ὁπότε καὶ μόνον ἐγίνετο λειτουργία (γ)· ἔπειτα ἐλειτούργουν καὶ ἐκοινώνουν καὶ τὸ σάββατον (δ)· ἀλλοῦ δὲ τρὶς τῆς ἑβδομάδος, τὴν τετράδα καὶ τὴν παρασκευὴν καὶ τὴν Κυριακήν (ε)· ἀλλοῦ δὲ τετράκις, καὶ ταύτας δηλονότι, καὶ τὸ σάββατον, ἔτι δὲ καὶ τὰς ἑορτάς (ζ). Ἔπειτα συνεχίσθη μὲν ἡ λειτουργία καθ' ἡμέραν (η), καθὼς καὶ σήμερον, δὲν μετελάμβανον ὅμως καὶ καθ' ἡμέραν οἱ πιστοί· ἀλλ' ἄλλοι μὲν πλειοτέρας, ἄλλοι δὲ ὀλιγωτέρας φοράς, τοὐλάχιστον δὲ κατὰ τὰς μεγάλας ἑορτὰς οἱ περισσότεροι (θ). Τὸ εὐσεβὲς τοῦτο παράδειγμα τῆς παλαιᾶς Ἐκκλησίας πρέπει νὰ μιμώμεθα καὶ ἡμεῖς, διὰ νὰ μὴ ψυχραίνηται πρὸς τὸν Χριστὸν ἡ καρδία μας διὰ τὴν σπανίαν τοῦ μυστηριου μετάληψιν.

§. λή. Ἡ Ἐξομολόγησις εἶναι μυστήριον, εἰς τὸ ὁποῖον συγχωροῦνται ἀπὸ τὸν Θεὸν διὰ τοῦ ἱερέως αἱ ἁμαρτίαι τῶν πιστῶν, ἐὰν οὗτοι τὰς

(α) Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί· μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν. Ματθ. ζ, 6.—(β) Ὁ ἐσθίων καὶ πίνων ἀναξίως κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. Α. Κορινθ. ια, 29. — (γ) Ἰουστῖν. μάρτ. Ἀπολογ. πρὸς Ἀντωνῖνον. ἤκμαζε δὲ ὁ θεῖος Ἰουστῖνος τὸ 140. — (δ) Αὐγουστιν. ἐπιστ. 118 πρὸς Ἰανουάρ. — (ε) Ἐπιφάν. Κύπρ. περὶ πίστ. σελ. 465—466. — (ζ) Μέγ. Βασίλ. ἐπιστ. πρὸς Καισάρ. Πατρίκ. — (η) Χρυσόστ. Ὁμιλ. ιζ, εἰς τὴν πρὸς Ἑβρ. Ἀμβρόσ. Βιβ. ε. περὶ Μυστηρ. κεφ. δ. — (θ) Χρυσόστ. Ὁμιλ. γ. εἰς τὴν πρὸς Ἐφεσ.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

ῥαξας ἀρνησίχριστον, πλήρης γενναίου φρονήματος, πλήρης θείας πίστεως, τὸν Χριστὸν ὁμολογῶν, ἀθλοφόρε Ἀντώνιε παναοίδιμε. Καὶ βασάνους ἀῤῥήτους καρτερήσας, τῷ Χριστῷ συμβασιλεύεις, τῷ Βασιλεῖ τῶν δυνάμεων.

Στίχ. Θαυμαστὸς ὁ Θεός.

Ἐπ' ἰκρίου κρεμάμενος, καὶ τὰς σάρκας ξαινόμενος, καὶ τοὺς ἀστραγάλους τιτραινόμενος, ἄμφω τὰς χεῖρας τεμνόμενος, θηρσὶ προσριπτόμενος, ἐξοπτώμενος πυρί, διετέλεσας ἄκαμπτος, ἕως τέλειον ὤφθης θῦμα, σφαγεὶς ὥσπερ ἀρνίον, καὶ Θεῷ προσήχθης, Μάκαρ, ζῶν ἱερεῖον, Ἀντώνιε.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

Χαίροις Ἄγκυρα πάντιμε, τῶν Μαρτύρων τὸ στάδιον, ἧς τὴν γῆν ἐφοίνιξαν ἁγίων αἵματα· ἐν οἷς Κασίνη ἡ πάνσεμνος, σὺν Μελασίππῳ, καὶ ὁ πολύτλας μείραξ Ἀντώνιος· πύργος ἀστυφέλικτος, ἄκμων ἀνάλωτος πρὸς τὰς βασάνους γενόμενος, σὺν τοῖς γονεῦσι, καὶ συμμαρτύρων συστήσας θίασον. Τούτων τὴν μνήμην ἑορτάζοντες πρέσβεις πάντας αὐτοὺς προβαλλόμεθα τῷ Σωτῆρι τῶν ὅλων, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχ. πλ. δ'.

Βήματι τοῦ ἀποστάτου τυράννου παραστὰς ὁ νέος τῆς ἀληθείας μάρτυς Ἀντώνιος, ἔστη γενναιοφρόνως, ἀνακηρύττων Χριστοῦ τὴν θεότητα, καὶ τὴν ἄθεον πλάνην τῆς εἰδωλομανείας κατεξελέγχων. Ἄγε δή, παῖε δυνάστα, καῖε, χρεούργει, ῥίπτε θηριόβρωτον τὸν ἀήττητον τῆς πίστεως ἀθλητήν, ὅπως τῆς ἀνδρίας αὐτοῦ πειραθείς, ἡττημένον σεαυτὸν εἰς τέλος θεατρίσῃς. Πῦρ καὶ θῆρες ἠδέσθησαν· Βάσανοι δ' ἐσόμωσαν, καὶ ξίφος καρατόμον ἐπὶ τέρματος, ὡς τρόπαιον σταθέν, ἀνηγόρευσε τὸν νικητήν. Δόξα σοι, Χριστὲ Βασιλεῦ, ὅτι καὶ ἐν θαύμασι καὶ ἐν τοῖς παθήμασι τῶν πιστῶν σου λατρευτῶν φανεροῖς τὸ κράτος τῆς εὐσεβείας· δι' ἧς ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Ἀπολυτίκιον.

Ἦχος. πλ. ά. Τὸν Συνάναρχον Λόγον.

Ἀντωνίου τὴν μνήμην τοῦ Χριστομάρτυρος ἐκτελοῦντες ἐν ὕμνοις, πιστοί, δοξάσωμεν Χριστόν, δι' ὃν ἤθλησε στερρῶς ὑπὲρ τῆς Πίστεως. Πῦρ γὰρ καὶ ξίφος καὶ ξεσμούς, τομὰς χειρῶν, θηρῶν ὁρμὰς ὑπήνεγκε,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

